[Ἀσίας πίναξ ζ΄.]

§. 1. Ἡ ἐντὸς Ἰμάου ὄρους Σκυθία περιορίζεται ἀπὸ μὲν δύσεως Σαρματίᾳ τῇ ἐν Ἀσίᾳ κατὰ τὴν ἐκτεθειμένην πλευρὰν, ἀπὸ δὲ ἄρκτων ἀγνώστῳ γῇ, ἀπὸ δὲ ἀνατολῶν τῷ πρὸς τὰς ἄρκτους ἀνιόντι Ἰμάῳ ὄρει κατὰ μεσημβρινήν πως γραμμὴν τὴν ἀπὸ τοῦ εἰρημένου ὁρμητηρίου μέχρι τῆς
ἀγνώστου γῆς . . . . ρμ ξγ
ἀπὸ δὲ μεσημβρίας καὶ ἔτι ἀνατολῶν Σάκαις μὲν καὶ Σογδιανοῖς καὶ Μαργιανῇ κατὰ τὰς ἐκτεθειμένας αὐτῶν γραμμὰς μέχρι τῶν τοῦ Ὤξου ποταμοῦ εἰς τὴν Ὑρκανίαν θάλασσαν ἐκβολῶν, ἔτι δὲ τῷ ἐντεῦθεν μέχρι τοῦ Ῥᾶ ποταμοῦ μέρει τῆς Ὑρκανίας θαλάσσης κατὰ περιγραφὴν τοιαύτην.

§. 2. Ἡ δ᾽ ἐπιστροφὴ τοῦ Ῥᾶ ποταμοῦ, ἐν ᾗ τὸ ὅριον τῆς τε Σαρματίας καὶ τῆς
Σκυθίας . . . . πε νδ
μετὰ τὰς τοῦ Ῥᾶ ποταμοῦ ἐκβολὰς,
αἳ ἐπέχουσι μοίρας . . . . πζ ∠ μη ∠γ
Ῥυμμοῦ ποταμοῦ ἐκβολαὶ . . . . ϟα μη ∠δ
Δάϊκος ποταμοῦ ἐκβολαὶ . . . . ϟδ μη ∠δ
Ἰαξάρτου ποταμοῦ ἐκβολαὶ . . . . . . ϟζ μη
Ἰαστου ποταμοῦ ἐκβολαὶ . . . . ρ μζ γ΄
Πολυτιμήτου ποταμοῦ ἐκβολαὶ . . . ργ με ∠

Ἀσπαβῶτα πόλις .... ρβ
μεθ' ἣν αἱ τοῦ Ὤξου ποταμοῦ ἐκβολαί.

§. 3. Ὄρη δὲ ὀνομάζεται τῆς ἐντὸς Ἰμάου ὄρους Σκυθίας τά τε ἀνατολικώτερα τῶν Ὑπερβορείων καὶ τὰ καλούμενα Ἀλανά, ὧν τὰ
πέρατα ἐπέχει μοίρας .... ρε νθ
καὶ .... ριη νθ ∠·

§. 4. καὶ τὰ Ῥυμμικά, ὧν τὰ πέρατα ἐπέχει μοίρας .... ϙ νδ
καὶ .... ϙθ νζ ∠
ἀφ' ὧν ῥέουσιν ὅ τε Ῥυμμὸς καὶ ἄλλοι τινὲς εἰς τὸν Ῥᾶ ποταμὸν ἐκβάλλοντες, συμβάλλοντες τῷ Δάϊκι ποταμῷ·

§. 5. καὶ τὸ Νόροσσον ὄρος, οὗ
τὰ πέρατα ἐπέχει μοίρας .... ϙξ νγ ∠
καὶ .... ρς νβ ∠
ἀπὸ δὲ τούτου ῥεῖ ὅ τε Δάϊξ καὶ ἄλλοι τινὲς συμβάλλοντες τῷ Ἰαξάρτῃ ποταμῷ·

§. 6. καὶ τὰ καλούμενα Ἀσπίσια
ὄρη, ὧν τὰ πέρατα ἐπέχει μοίρας .. ρια νε ∠
καὶ .... ριξ νβ ∠
καὶ ἀπὸ τούτων δέ τινες ῥέουσιν εἰς τὸν Ἰαξάρτην ποταμόν·

§. 7. καὶ τὰ καλούμενα ὄρη Τάπουρα, ὧν τὰ πέρατα ἐπέχει μοίρας ρκ νς
καὶ .... ρκε μθ
ἀφ' ὧν πάλιν εἰς τὸν Ἰαξάρτην ῥέουσί τινες ποταμοί.

§. 8. πρὸς δὲ τούτοις ἐν βάθει τῆς ποταμίας τά τε Σύηβα ὄρη, ὧν τὰ πέρατα ἐπέχει μοί-
ρας .... ρκα νη

καὶ	ρλβ	ξβ
καὶ τὰ καλούμενα Ἀνάρεα ὄρη, ὧν τὰ πέρατα ἐπέχει μοίρας	ρλ	νς
καὶ	ρλξ	ν.

μεθ᾽ ἅ ἐστιν ἡ πρὸς τὰς ἄρκτους ἀνατεταμένη τοῦ Ἰμάου ἐπιστροφή.

§. 9. (*) Κατανέμονται δὲ ταύτης τῆς Σκυθίας τὴν μὲν πρὸς ἄρκτους πᾶσαν ἐγγὺς τῆς ἀγνώστου οἱ κοινῶς καλούμενοι Ἀλανοὶ Σκύθαι,
καὶ οἱ Σουοβηνοί,
καὶ Ἀλανορσοί,
τὴν δὲ ὑπὸ τούτοις Σαιτιανοί,
καὶ Μασσαῖοι,
καὶ Σύηβοι,
καὶ παρὰ τὸ Ἴμαον τὸ ἐκτὸς Τεκτόσακες,
ἔτι δὲ παρὰ μὲν τὰς ἀνατολικωτέρας τοῦ Ῥᾶ ποταμοῦ πηγὰς Ῥόβοσκοι,
ὑφ᾽ οὓς Ἀσμανοί,
§. 10. εἶτα Πανίαρδοι,
ὑφ᾽ οὓς ἤδη πρὸς τῷ ποταμῷ ἥ τε Κανοδιψὰς χώρα, καὶ ὑπ᾽ αὐτὴν Κόραξοι,
εἶτα Ὄργασοι,
μεθ᾽ οὓς μέχρι τῆς θαλάσσης Ἐρύμμοι,
ὧν πρὸς ἀνατολὰς Ἀσιῶται,
εἶτα Ἄορσοι,
μεθ᾽ οὓς Ἰαξάρται
μέγα ἔθνος παρὰ τὸν ὁμώνυμον ποταμὸν μέχρι τῆς πρὸς τοῖς Ταπούροις ὄρεσιν ἐπιστροφῆς, πάλιν δὲ ὑπὸ μὲν τοὺς Σαιτιανοὺς Μολογηνοί,
ὑφ᾽ οὓς μέχρι τῶν Ῥυμμικῶν ὀρῶν Σαμνῖται·

§. 11. ὑπὸ δὲ τοὺς Μασσαίους
καὶ τὰ Ἀλανὰ ὄρη Ζαράται,
καὶ Σάσονες,
καὶ ἀνατολικώτεροι μὲν τῶν Ῥυμμικῶν ὀρῶν Τυβιάκαι,
μεθ᾽ οὓς ὑπὸ τοὺς Ζαράτας Ταβιηνοί,
καὶ Ἰάσται,
καὶ Μαχαιτηγοὶ
παρὰ τὸ Νόροσσον τὸ ὄρος,
ὑφ᾽ οὓς Νοροσβεῖς,
καὶ Νόροσσοι,
καὶ ὑπὸ τούτους οἱ Καχάγαι Σκύθαι
παρὰ τοὺς Ἰαξάρτας.

§. 12. Εἰσὶ δὲ καὶ τῶν Ἀσπισίων ὀρῶν δυσμικώτεροι μὲν οἱ Ἀσπίσιοι Σκύθαι,
ἀνατολικώτεροι δὲ οἱ Γαλακτοφάγοι Σκύθαι,
ὁμοίως δὲ καὶ τῶν μὲν Ταπούρων ὀρῶν καὶ τῶν Συήβων Σκυθῶν ἀνατολικώτεροι κατανέμονται Ταπούρειοι·

§. 13. τῶν δὲ Ἀναρέων ὀρῶν καὶ τοῦ Ἀσκατάγκα ὄρους ὑπέρκεινται οἱ ὁμώνυμοι Σκύθαι,
Ἀνάρεοι μὲν ὑπὸ τοὺς Ἀλανορσούς,
Ἀσκατάγκαι δὲ ἀνατολικώτεροι τῶν Ταπουρέων καὶ μέχρι τοῦ Ἰμάου ὄρους· §. 14. τὰ δὲ μεταξὺ τῶν Ταπούρων ὀρῶν καὶ τοῦ πρὸς ταῖς ἐκβολαῖς κλίματος τοῦ Ἰαξάρτου

καὶ τῆς μεταξὺ τῶν δύο ποταμῶν
παραλίας κατέχουσιν· *Ἀριάκαι*
μὲν παρὰ τὸν Ἰαξάρτην,
ὑπὸ τούτους δὲ *Ναμάσται,*
εἶτα *Σαγαραῦκαι,*
καὶ παρὰ τὸν Ὦξον ποταμὸν *Ῥίβιοι,*
ἐν οἷς πόλις
Δαύαβα . . . . ρδ με.

Κεφ. ιε΄.

(*)*Σκυθίας τῆς ἐκτὸς Ἰμάου ὄρους θέσις.*
[Ἀσίας πίναξ η΄.]

§. 1. Ἡ ἐκτὸς Ἰμάου ὄρους Σκυθία περιορίζεται ἀπὸ μὲν *δύσεως* τῇ ἐντὸς Σκυθίᾳ καὶ Σάκαις παρ᾽ ὅλην τὴν πρὸς ἄρκτους ἐκτροπὴν τῶν ὀρῶν, ἀπὸ δὲ *ἄρκτων* τῇ ἀγνώστῳ γῇ, ἀπὸ δὲ *ἀνατολῶν* Σηρικῇ κατ᾽ εὐθεῖαν γραμμήν, ἧς τὰ πέ-
ρατα ἐπέχει μοίρας . . . . ρν ξγ
καὶ . . . . ρξ λε
ἀπὸ δὲ *μεσημβρίας* μέρει τῆς ἐκτὸς Γάγγου ποταμοῦ Ἰνδικῆς κατὰ τὴν ἐπιζευγνύουσαν τὰ ἐκτεθειμένα πέρατα κατὰ παράλληλον γραμμήν.

§. 2. Κεῖται δὲ ἐν τούτῳ τῷ τμήματι τό τε τῶν Αὐξακίων ὀρῶν δυτικὸν μέρος, οὗ
πέρατα ἐπέχει μοίρας . . . . ρμθ μθ
καὶ . . . . ρξε νδ
καὶ τὸ τῶν καλουμένων Κασίων δυ-
τικόν, οὗ τὸ πέρας ἐπέχει μοίρας . . . ρνβ μα
καὶ . . . . ρξβ μδ

καὶ τὸ τῶν Ἠμωδῶν ὁμοίως δυτικὸν,
οὗ τὸ πέρας ἐπέχει μοίρας .... ρνγ λϛ
καὶ .... ρξε λϛ
καὶ πρὸς τοῖς Αὐξακίοις πηγὴ τοῦ
Οἰχάρδου ποταμοῦ ἐπέχουσα μοίρας ρνγ να.

§. 3. Κατέχουσι δὲ ταύτης τῆς
Σκυθίας τὰ μὲν ἀρκτικὰ — Ἄβιοι Σκύθαι,
τὰ δὲ ὑπὸ τούτους — Ἱπποφάγοι Σκύθαι,
μεθ' οὓς — ἡ Αὐξακῖτις
ἐκτέταται χώρα, καὶ ὑπὸ ταύτην ἔτι παρὰ τὸ εἰρημένον ὁρμητήριον — ἡ Κασία χώρα,
ὑφ' ἣν — Χάται Σκύθαι,
εἶτα — ἡ Ἀχάσα χώρα,
καὶ ὑπ' αὐτὴν παρὰ τὰ Ἠμωδὰ ὄρη — Χαραύναιοι Σκύθαι.

§. 4. Πόλεις δὲ εἰσιν ἐν τούτῳ τῷ τμήματι αἵδε·

Αὐξακία	ρμδ	μθ γο'
Ἰσσηδὼν Σκυθικὴ	ρν	μη ∠
Χαύρανα	ρν	λζ' δ'
Σοῖτα	ρμε	λε γ'.

Κεφ. ιϛ'.

Σηρικῆς θέσις.

[Ἀσίας πίναξ η'.]

§. 1. Ἡ Σηρικὴ περιορίζεται ἀπὸ μὲν δύσεως τῇ ἐκτὸς Ἰμάου ὄρους Σκυθίᾳ κατὰ τὴν ἐκτεθειμένην γραμμὴν, ἀπὸ δὲ ἄρκτων ἀγνώστῳ γῇ παρὰ τὸν

αὐτὸν τῷ διὰ Θούλης παράλληλον, ὁμοίως δὲ καὶ ἀπὸ ἀνατολῶν ἀγνώστῳ γῇ κατὰ μεσημβρινὴν γραμμὴν, ἧς τὰ πέρατα ἐπέχει μοίρας . . . . ρπ ξγ
καὶ . . . . ρπ λε
ἀπὸ δὲ μεσημβρίας τῷ τε λοιπῷ μέρει τῆς ἐκτὸς Γάγγου Ἰνδικῆς διὰ τῆς αὐτῆς παραλλήλου γραμμῆς μέχρι πέρατος, οὗ ἡ θέσις ἐπέχει μοίρας . . . . ροϛ λε
(*) καὶ ἔτι Σίναις διὰ τῆς προςεκβαλλομένης γραμμῆς μέχρι τοῦ ἐκτεθειμένου πρὸς τῇ ἀγνώστῳ γῇ πέρατος.

§. 2. Ὄρη δὲ διέζωκε τὴν Σηρικὴν τά τε καλούμενα Ἄννιβα, ὧν τὰ πέρατα ἐπέχει μοίρας . . . . ρνγ ξ
καὶ . . . . ροα νϛ
καὶ τῶν Αὐξακίων τὸ ἀνατολικὸν μέρος, οὗ τὸ πέρας ἐπέχει μοίρας . . ρξε νδ
καὶ τὰ καλούμενα Ἀσμίραια ὄρη, ὧν τὰ πέρατα ἐπέχει μοίρας . . . . ρξζ μζ ∠'
καὶ . . . . ροδ μζ ∠'
καὶ τῶν Κασίων τὸ ἀνατολικὸν μέρος, οὗ τὸ πέρας ἐπέχει μοίρας . . . ρξβ μδ
καὶ . . . . ροα μ
καὶ τὸ Θάγουρον ὄρος, οὗ τὸ μέσον ἐπέχει μοίρας . . . . ρο μγ
ἔτι δὲ καὶ τῶν Ἠμωδῶν καὶ Σηρικῶν καλουμένων τὸ ἀνατολικὸν μέρος, οὗ τὸ πέρας ἐπέχει μοίρας . . . . ρξε λϛ
καὶ τὸ καλούμενον Ὀττοροκόῤῥας, οὗ τὰ πέρατα ἐπέχει μοίρας . . . . . ρξθ λϛ

καὶ . . . . ρος̄ λθ.

§. 3. Διαῤῥέουσι δὲ δύο μάλιστα ποταμοὶ τὸ πολὺ τῆς Σηρικῆς, ὅ τε Οἰχάρδης, οὗ ἡ μὲν πρὸς τοῖς Αὐξακίοις πηγὴ ἐκτέθειται, ἡ δὲ πρὸς τοῖς Ἀσμιραίοις ὄρεσιν ἐπέχει μοίρας . . . . ροδ̄ μ̄ζ ∠

ἡ δὲ ὡς ἐπὶ τὰ Κάσια ὄρη ἐκτροπὴ ρ̄ξ μ̄θ ∠

ἡ δὲ ἐν τούτοις πηγή . . . . ρξᾱ μ̄δ δ'

καὶ ὁ καλούμενος Βαύτισος ποταμὸς, οὗ καὶ αὐτοῦ ἡ μὲν πρὸς τοῖς Κασίοις ὄρεσι πηγὴ ἐπέχει μοίρας . . . . ρ̄ξ μ̄γ

ἡ δὲ πρὸς τῷ Ὀττοροκόῤῥᾳ μοίρας ρος̄ λ̄θ

ἡ δὲ πρὸς τὰ Ἠμωδὰ ἐκτροπή . . . . ρξη̄ λ̄θ

ἡ δὲ ἐν τούτοις πηγή . . . . ρ̄ξ λ̄ζ

§. 4. Τὰ μὲν οὖν ἀρκτικώτατα

τῆς Σηρικῆς κατανέμονται	ἔθνη ἀνθρωποφάγων,
ὑφ' οὓς	Ἄννιβοι ἔθνος
ὑπέρκεινται τῶν ὁμωνύμων ὀρῶν, μεταξὺ δὲ τούτων καὶ τῶν Αὐξακίων	Σίζυγες ἔθνος,
ὑφ' οὓς	Δᾶμναι,
εἶτα μέχρι τοῦ Οἰχάρδου ποταμοῦ,	Πιάλαι (ἢ Πιάδδαι)
καὶ ὑπ' αὐτὸν ὁμώνυμοι	Οἰχάρδαι.

§. 5. Πάλιν δὲ ἀνατολικώτεροι

μὲν τῶν Ἀννίβων	Γαριναῖοι
καὶ	Ῥαβάνναι ἢ Ῥαββαναῖοι,
ὑπὸ δὲ τούτους	ἡ Ἀσμιραία χώρα
ὑπὲρ τὰ ὁμώνυμα ὄρη,	

ὑπὸ δὲ ταῦτα μέχρι τῶν Κασίων Ἰσσηδόνες μέγα ἔθνος,
καὶ ἀνατολικώτεροι αὐτῶν Θροάνοι,
εἶτα ὑπὸ μὲν τούτους οἱ Ἰθάγουροι,
ἀπὸ ἀνατολῶν τοῦ ὁμωνύμου ὄρους, ὑπὸ τοὺς Ἰσσηδόνας Ἀσπακᾶραι,
καὶ ἔτι ὑπὸ τούτους Βᾶται,
καὶ μεσημβρινώτατοι παρὰ τὰ Ἠμωδὰ καὶ Σηρικὰ ὄρη Ὀττοροκόῤῥαι.

§. 6. Πόλεις δὲ ὀνομάζονται τῆς Σηρικῆς αἵδε·

	Δάμνα	ρνϛ	να γ'
	Πίαλα (ἢ Πιάδδα)	ρξ	μθ γο'
	Ἀσμιραία	ρο	μη
	Θροάνα	ροδ γο'	μζ γο'·
§. 7.	Ἰσσηδὼν Σηρική	ρξβ	με
	Ἀσπακάρα (ἢ Ἀσπακαία)	ρξβ ∠	μα γο'
(*)	Δρωσαχὴ (ἢ Ῥοσάκλα)	ρξζ γο'	μβ ∠
	Παλιάνα	ρξβ ∠	μα
	Ἀβραγάνα	ρξγ ∠	λθ ∠·
§. 8.	Θογάρα	ροα γ'	λθ γο'
	Δαξάτα	ροδ	λθ ∠
	Ὀροσάνα	ρξβ	λζ ∠
	Ὀττοροκόῤῥα	ρξε	λζ δ'
	Σολάνα	ρξθ	λζ ∠
	Σήρα μητρόπολις	ροξ	λη ∠ιβ.

Κεφ. ιζ΄.

Ἀρείας θέσις.

[Ἀσίας πίναξ θ΄.]

§. 1. Ἡ Ἀρεία περιορίζεται ἀπὸ μὲν ἄρκτων Μαργιανῇ καὶ μέρει Βακτριανῆς παρὰ τὰς ἐκτεθειμένας αὐτῶν μεσημβρινὰς πλευράς, ἀπὸ δὲ δύσεως Παρθίᾳ καὶ τῇ Ἐρήμῳ Καρμανίᾳ κατὰ τὰς διωρισμένας αὐτῶν ἀνατολικὰς γραμμάς, ἀπὸ δὲ μεσημβρίας Δραγγιανῇ κατὰ γραμμήν, ἥτις ἀρξαμένη ἀπὸ τοῦ εἰρημένου πρὸς τῇ Καρμανίᾳ πέρατος καὶ κυρτωθεῖσα πρὸς ἄρκτους ἐπιστρέφει διὰ τοῦ Βαγώου ὄρους πρὸς ἀνατολὰς μέχρι πέρατος, οὗ ἡ
θέσις ἐπέχει μοίρας . . . . ρια̅ λδ
ἡ δὲ τῆς κυρτότητος τοῦ ὄρους θέσις
ἐπέχει μοίρας . . . . ρε̅ λβ
ἀπὸ δὲ ἀνατολῶν Παροπανισάδαις κατὰ τὴν ἐπιζευγνύουσαν τὰ ἐκτεθειμένα πέρατα διὰ τῶν δυτικῶν μερῶν τοῦ Παροπανίσου, θέσις κατὰ τρία σημεῖα νότιον . . . . ρια̅ λς
βόρειον . . . . ρια̅ ∠ λθ
καὶ τὸ ἀνατολικώτατον . . . . ριθ ∠ λθ.

§. 2. Διαῤῥεῖ δὲ τὴν χώραν ἀξιόλογος ποταμὸς καλούμενος Ἀρείας, οὗ αἱ μὲν ἐν τῷ Παροπανίσῳ πηγαὶ ἐπέχουσι μοίρας . . . . ρια̅ λη δ΄
αἱ δὲ πρὸς τοῖς Σαρίφοις μοίρας . . ρι̅η λγ γ΄
τὸ δὲ κατὰ τὴν ὑπ' αὐτοὺς γενομένην λίμνην μέρος, ἣ καὶ αὐτὴ καλεῖται Ἀρεία, ἐπέχει δὲ

μοίρας . . . . ρη̄ γο' λϛ̄.

§. 3. Κατέχουσι δὲ τῆς Ἀρείας

τὰ μὲν ἀρκτικὰ μέρη	Νισαῖοι,
καὶ	Ἀσταυηνοὶ ἢ Ἀσταβηνοί,
τὰ δὲ παρὰ τὴν Παρθίαν καὶ τὴν Ἔρημον Καρμανίαν	Μασδωρανοὶ ἢ Μαζωρανοί,
τὰ δὲ παρὰ τὴν Δραγγιανὴν	Κασειρῶται,
τὰ δὲ παρὰ τοὺς Παροπανισάδας	Πάραυτοι
ὑφ' οὓς	Ὀβαρεῖς,
τὰ δὲ μεταξὺ	Δραχάμαι,
ὑφ' οὓς	Αἰτύμανδροι,
εἶτα	Βόργοι,
ὑφ' οὓς	ἡ Σκορπιοφόρος χώρα.

§. 4. Πόλεις δέ εἰσιν ἐν τῇ Ἀρείᾳ καὶ κῶμαι αἵδε·

	Δίστα	ρβ̄	∠	λη̄	δ'
	Νάβαρις	ρε̄	γο'	λη̄	γ'
	Ταῦα	ρϑ̄		λη̄	∠δ
	Αὔγαρα	ρβ̄		λη̄	
	Βίταξα	ργ̄	γο'	λη̄	
	Σαρμάγανα	ρε̄	γ'	λη̄	ϛ'
	Σιφάρη	ρζ̄	δ'	λη̄	δ'
	Ῥαύγαρα	ρϑ̄	∠	λη̄	ϛ'
§. 5.	(*) Ζαμουχάνα	ρβ̄		λζ̄	
	Ἀμβρωδάξ	ργ̄	∠	λζ̄	∠
	Βογαδία	ρδ̄	δ'	λζ̄	γο'
	Οὐάρπνα	ρε̄	∠	λζ̄	
	Γοδάνα	ρῑ	∠	λζ̄	∠

	Φοραύα	ρι	λζ
	Χατρίσχη	ργ	λς γ'
	Χαυρίνα	ρδ	λς γ'·
§. 6.	Ὀρθίανα	ρε δ'	λς γ'
	Ταυκίανα	ρς ς'	λς
	Ἀσταύδα	ρζ γο'	λς
	Ἀρτικαῦδνα	ρθ γ'	λς ς'
	Ἀλεξάνδρεια ἐν Ἀρείοις	ρι	λς
	Βαβαρσάνα ἢ Καβαρσάνα . .	ργ γ'	λε γ'
	Καπουτάνα	ρδ ∠	λε ∠·
§. 7.	Ἀρεία πόλις	ρε	λε
	Κάσκη	ρζ γ'	λε γ'
	Σώτειρα	ρη γο'	λε ∠
	Ὀρτικάνη	ρθ γ'	λε ∠
	Νίσιβις	ρια	λε γ'
	Παρακανάκη	ρε ∠	λδ γ'
	Σάριγα	ρς γο'.	λδ γο'·
§. 8.	Δαρκάμα	ρια	λδ γ'
	Κοτάκη	ρζ ∠	λγ γο'
	Τριβαζίνα	ρς	λγ
	Ἀστασάνα	ρε	λγ
	Ζιμύρα	ρβ ∠	λγ δ'.

Κεφ. ιη'.

Παροπανισαδῶν θέσις.

[Ἀσίας πίναξ θ'.]

§. 1. Οἱ Παροπανισάδαι περιορίζονται ἀπὸ μὲν δύσεως Ἀρείᾳ παρὰ τὴν εἰρημένην πλευρὰν, ἀπὸ δὲ

ἄρκτων τῷ ἐκτεθειμένῳ μέρει τῆς Βακτριανῆς, ἀπὸ δὲ ἀνατολῶν Ἰνδικῆς μέρει τῇ ἀπὸ τῶν πηγῶν τοῦ Ὤξου ποταμοῦ διὰ τῶν Καυκασίων ὀρῶν ἐκβαλλομένῃ μεσημβρινῇ γραμμῇ μέχρι πέρατος,

οὗ ἡ θέσις ἐπέχει μοίρας .... ριθ ∠ λθ

ἀπὸ δὲ μεσημβρίας Ἀραχωσίᾳ κατὰ τὴν ἐπιζευγνύουσαν τὰ ἐκτεθειμένα πέρατα γραμμὴν διὰ τῶν Παρσυητῶν ὀρῶν.

§. 2. Ἐμβάλλουσι δὲ εἰς τὴν χώραν ποταμοὶ ὅ τε Δαργαμάνης ὁ ἐπὶ τῆς Βακτριανῆς, οὗ ἡ θέσις τῶν πηγῶν εἴρηται, καὶ ὁ πρὸς τῷ Κώᾳ συμβάλλων, οὗ αἱ πηγαὶ ἐπέχουσι μοίρας .... ριε λδ ∠.

§. 3. Κατέχουσι δὲ τῆς χώρας

τὰ μὲν ἀρκτικὰ	Βωλῖται,
τὰ δὲ δυσμικὰ	Ἀριστόφυλοι,
καὶ ὑπ' αὐτοὺς	Πάρσιοι,
τὰ δὲ μεσημβρινὰ	Παρσυῆται,
τὰ δὲ ἀνατολικὰ	Ἀμβαῦται.

§. 4. Πόλεις δέ εἰσιν ἐν τοῖς Παροπανισάδαις καὶ κῶμαι αἵδε·

Παρσιάνα	ριη ∠	λη ∠δ
Βαρζαῦρα	ριδ	λζ ∠
Ἀρτοάρτα	ριϛ ∠	λζ ∠
Βαβοράνα	ριη	λζ ϛ'
Κάτισα	ριη γο'	λζ ∠
Νιφάνδα	ριθ	λζ
Δράστοκα	ριϛ	λϛ ∠
Γάζακα ἢ Γαύζακα	ριη ∠	λϛ δ'.
§. 5. (*) Ναυλιβίς	ριζ	λε ∠
Παρσία	ριγ ∠	λε

Δοχάρνα	ριη	λδ
Δαροακάνα	ριη ∠	λδ γ′
Κάρουρα ἢ καὶ Ὀρτόσπανα . .	ριη	λε
Ταρβακάνα	ριδ γ′	λγ γο
Βαγάρδα	ρις γο′	λγ γο
Ἀργοῦδα	ριη ∠δ	λγ ∠.

Κεφ. ιθ′.

Δραγγιανῆς θέσις.

[Ἀσίας πίναξ θ′.]

§. 1. Ἡ Δραγγιανὴ περιορίζεται ἀπὸ μὲν δύσεως καὶ ἄρκτων Ἀρείᾳ κατὰ τὴν ἐκτεθειμένην διὰ τοῦ Βαγώου ὄρους γραμμὴν, ἀπὸ δὲ ἀνατολῶν Ἀραχωσίᾳ κατὰ μεσημβρινὴν τὴν ἀπὸ τοῦ πρὸς τοῖς Ἀρείοις καὶ Παροπανισάδαις πέρατος ἐκβαλλομένην μεσημβρινὴν γραμμὴν μέχρι πέρατος, οὗ ἡ
θέσις ἐπέχει μοίρας . . . . ρια ∠ κη
ἀπὸ δὲ μεσημβρίας μέρει Γεδρωσίας κατὰ τὴν ἐπιζευγνύουσαν τὰ ἐκτεθειμένα πέρατα διὰ τῶν Βαιτίων ὀρέων γραμμήν.

§. 2. Διαῤῥεῖ δὲ τὴν χώραν ποταμὸς ἀπὸ τοῦ Ἀράβιος ἐκτρεπόμενος, οὗ αἱ πηγαὶ
ἐπέχουσι μοίρας . . . . ρθ λβ ∠.

§. 3. Καὶ κατέχουσι τὰ μὲν
πρὸς τῇ Ἀρείᾳ Δαράνδαι,
τὰ δὲ πρὸς τῇ Ἀραχωσίᾳ Βάκτριοι,
ἡ δὲ μεταξὺ χώρα καλεῖται Τατακηνή.

§. 4. Πόλεις δὲ καὶ κῶμαι φέρονται τῆς Δραγγιανῆς αἵδε·

	Προφθασία	ρι	λβ γʹ
	Ῥοῦδα	ρς ∠	λα ∠
	Ἴννα	ρϑ	λα ∠
	Ἀρικάδα	ρι γʹ	λα γʹ.
§. 5.	Ἄστα	ριζ ∠	λ γοʹ
	Ξαρξιάρη	ρς γʹ	κϑ δʹ
	Νοστάνα	ρη	κϑ γοʹ
	Φαραζάνα	ρι	λ
	Βιγίς	ρια	κϑ γοʹ
	Ἀριάσπη	ρη γοʹ	κη γοʹ
	Ἀράνα	ρια	κη δʹ.

Κεφ. κʹ.

Ἀραχωσίας θέσις.

[Ἀσίας πίναξ θʹ.]

§. 1. Ἡ Ἀραχωσία περιορίζεται ἀπὸ μὲν δύσεως Δραγγιανῇ, ἀπὸ δὲ ἄρκτων Παροπανισάδαις κατὰ τὰς ἐκτεθειμένας αὐτῶν πλευράς, ἀπὸ δὲ ἀνατολῶν Ἰνδικῆς μέρει κατὰ μεσημβρινὴν γραμμὴν τὴν ἐκβαλλομένην ἀπὸ τοῦ πρὸς τοῖς Παροπανισάδαις ὁρίου μέχρι πέρατος, οὗ ἡ θέσις ἐπέχει

μοίρας	ριϑ	κη

ἀπὸ δὲ μεσημβρίας τῷ λοιπῷ μέρει τῆς Γεδρωσίας (*) κατὰ τὴν ἐπιζευγνύουσαν τὰ ἐκτεθειμένα πέρατα γραμμὴν διὰ τοῦ Βαιτίου ὄρους.

§. 2. Ἐμβάλλει δὲ εἰς τὴν χώραν ποταμὸς ἀπὸ τοῦ

Ἰνδοῦ ἐκτρεπόμενος, οὗ αἱ πηγαὶ ἐπέχουσι μοίρας .... ριδ̄ λβ̄ ∠

ἡ δὲ ἐκτροπὴ.............. ρκᾱ ∠ κζ̄ ∠

τὸ δὲ κατὰ τὴν γινομένην ὑπ' αὐτοῦ λίμνην, ἥτις καλεῖται Ἀράχωτος κρήνη, μέρος ἐπέχει μοίρας .... ριε̄ κη̄ γο'.

§. 3. Καλοῦνται δὲ οἱ μὲν τὰ ἀρκτικὰ τῆς χώρας κατέχοντες Παρσυῆται,
οἱ δ' ὑπ' αὐτοὺς Σύδροι,
μεθ' οὓς Ῥωπλοῦται,
καὶ Ἐωρῖται.

§. 4. Πόλεις δὲ καὶ κῶμαι φέρονται τῆς Ἀραχωσίας αἵδε·

Ὀζόλα (ἢ Ἄξολα)	ριδ̄ δ'	λβ̄ δ'
Φωκλὶς..............	ριη̄ δ'	λβ̄ ς'
Ἀρικάκα..............	ριγ̄	λᾱ γ'
Ἀλεξάνδρεια	ριδ̄	λᾱ γ'
Ῥιζάνα..............	ριε̄	λᾱ ∠
Ἀρβάκα	ριη̄	λᾱ γ'
Σιγάρα	ριγ̄ δ'	λ̄
Χοάσπα..............	ριε̄ δ'	λ̄ ς'.

§. 5.

Ἀράχωτος..............	ριη̄	λ̄ γ'
Ἀσιάκη	ριβ̄ γ'	κθ̄ γ'
Γαμμάκη	ρις̄ γ'	κθ̄ γ'
Μαλιανὴ	ριη̄	κθ̄ γ'
Δαμμάνα	ριγ̄	κη̄ γ'.

Κεφ. κα'.

Γεδρωσίας θέσις.

[*Ἀσίας πίναξ θ'.*]

§. 1. *Ἡ Γεδρωσία περιορίζεται ἀπὸ μὲν δύσεως Καρμανίᾳ κατὰ τὴν ἐκτεθειμένην μέχρι θαλάσσης μεσημβρινὴν γραμμήν, ἀπὸ δὲ ἄρκτων Δραγγιανῇ καὶ Ἀραχωσίᾳ παρὰ τὰς διωρισμένας αὐτῶν μεσημβρινὰς γραμμάς, ἀπὸ δὲ ἀνατολῶν Ἰνδικῆς μέρει παρὰ τὸν Ἰνδὸν ποταμὸν κατὰ τὴν ἐκβαλλομένην γραμμὴν ἀπὸ τοῦ πρὸς τῇ Ἀραχωσίᾳ ὁρίου μέχρι τοῦ ἐπὶ θαλάσσης πέρατος, ὃ ἐπέχει μοίρας . . . . ρθ κ*

ἀπὸ δὲ μεσημβρίας μέρει τοῦ Ἰνδικοῦ πελάγους, οὗ ἡ περιγραφὴ ἔχει οὕτως·

§. 2. *μετὰ τὸ πρὸς τῇ Καρμανίᾳ πέρας*

Ἀράβιος ποταμοῦ ἐκβολαί . . .	ρε	κ δ'
αἱ πηγαὶ τοῦ ποταμοῦ	ρι	κζ ∠
ἡ ἐκτροπὴ τοῦ εἰς τὴν Δραγγιανὴν ἐμβάλλοντος	ρζ γ'	κε
Ῥαγίραυα πόλις	ρς	κ
Γυναικῶν λιμὴν	ρζ	κ δ'
Κώλαμβα	ρη	κ
Ῥιζάνα	ρη γ'	κ δ'
μεθ' ἣν τὸ εἰρημένον ἐπὶ θαλάσσῃ πέρας	ρθ	κ.

§. 3. *Διατείνει δὲ διὰ μέσης τῆς Γεδρωσίας ὄρη καλούμενα Ἄρβιτα, ὧν τὰ πέρατα ἐπέχει μοίρας . . . . ρξ κβ*

:καὶ .... ριγ κς ∠

ἀφ' ὧν εἰς τὸν Ἰνδὸν ἐμβάλλουσί τινες ποταμοί, ὧν τοῦ ἑνὸς ἡ πηγή .... ρια κε ∠

(*) ὁμοίως δὲ καὶ ἀπὸ τῶν Βαιτίων διαῤῥέοντες τὴν Γεδρωσίαν.

§. 4. Τὰ μὲν οὖν ἐπὶ θαλάσσῃ τῆς χώρας κατέχουσιν	Ἀρβιτῶν κῶμαι,
τὰ δὲ παρὰ τὴν Καρμανίαν (ἢ Παρσίραι),	Παρσίδαι
τὰ δὲ παρὰ τὴν Ἀραχωσίαν	Μουσαρναῖοι,
ἡ δὲ μέση τῆς χώρας πᾶσα καλεῖται	Παραδηνή,
καὶ ὑπ' αὐτὴν	Παρισιηνή,
μεθ' ἣν τὰ πρὸς τῷ Ἰνδῷ κατέχουσι	Ῥάμναι

§. 5. Πόλεις δὲ καὶ κῶμαι τῆς Γεδρωσίας καταλέγονται αἵδε·

Κοῦνι	ρι	κζ
Βαδάρα	ριγ	κζ
Μουσάρνα	ριε	κζ ∠
Κοττόβαρα	ριη	κζ ∠
Σωξέστρα ἢ Σώκστρα	ριη ∠	κε ∠δ
Ὀσκάνα	ριε	κς
Παρσὶς μητρόπολις	ρς ∠	κγ ∠
Ὄμιζα	ρι	κγ ∠
Ἄρβις πόλις	ρε γ'	κβ ∠.

§. 6. Νῆσοι δὲ παράκεινται τῇ Γεδρωσίᾳ

Ἀσθαία	ρε	ιη
Κοδάνη	ρξ ∠	ιζ.

(* p. 197. ed. Bert.)

(*) Κλαυδίου Πτολεμαίου

Γεωγραφικῆς Ὑφηγήσεως

Βιβλίον ζ΄.

Τάδε ἔνεστιν ἐν τῷ ἑβδόμῳ·

Ἔκθεσις τῶν ἐσχάτων μερῶν τῆς Μεγάλης Ἀσίας κατὰ τὰς ὑποκειμένας ἐπαρχίας ἢ σατραπείας.

§. 1. [Πίναξ δέκατος]

α΄. Ἰνδικῆς τῆς ἐντὸς Γάγγου ποταμοῦ·

§. 2. [Πίναξ ἑνδέκατος]

β΄. Ἰνδικῆς τῆς ἐκτὸς Γάγγου ποταμοῦ·

γ΄. Σινῶν·

§. 3. [Πίναξ δωδέκατος]

δ΄. Ταπροβάνης νήσου καὶ τῶν περὶ αὐτήν·

§. 4. ε΄. Ὑπογραφὴ κεφαλαιώδης τοῦ τῆς οἰκουμένης πίνακος·

ϛ΄. Κρικωτῆς σφαίρας μετὰ τῆς οἰκουμένης καταγραφή·

ζ΄. Ὑπογραφὴ τοῦ ἐκπετάσματος.

[§. 5. Γίνονται ἐπαρχίαι δ, πίνακες γ.]

Κεφ. α'.

Τῆς ἐντὸς Γάγγου Ἰνδικῆς θέσις.

[Ἀσίας πίναξ ι'.]

§. 1. Ἡ ἐντὸς Γάγγου ποταμοῦ Ἰνδικὴ περιορίζεται ἀπὸ μὲν δύσεως Παροπανισάδαις καὶ Ἀραχωσίᾳ καὶ Γεδρωσίᾳ παρὰ τὰς ἐκτεθειμένας αὐτῶν ἀνατολικὰς πλευράς, ἀπὸ δὲ ἄρκτων Ἰμάῳ ὄρει παρὰ τοὺς ὑπερκειμένους αὐτοῦ Σογδιαίους καὶ Σάκας· ἀπὸ δὲ ἀνατολῶν τῷ Γάγγῃ ποταμῷ, ἀπὸ δὲ μεσημβρίας καὶ ἔτι δύσεως μέρει τοῦ Ἰνδικοῦ πελάγους, οὗ ἡ παραλία ἔχει περιγραφὴν τοιαύτην·

§. 2. Συραστρηνῆς ἐν κόλπῳ, καλουμένῳ Κάνθι,

ναύσταθμον ὅρμος	ρθ ∠	κ
τὸ δυσμικώτατον τοῦ Ἰνδοῦ ποταμοῦ στόμα, ὃ καλεῖται Σάγαπα	ρι γ'	ιθ ∠γ
τὸ ἐφεξῆς αὐτοῦ τοῦ Ἰνδοῦ, ὃ καλεῖται Σίνθων	ρι γο'	ιθ ∠γ
τὸ τρίτον, ὃ καλεῖται Χρυσοῦν	ρια γ'	ιθ ∠γ
τὸ τέταρτον, ὃ καλεῖται Χάριφρον	ρια γο'	ιθ ∠γ
τὸ πέμπτον, ὃ καλεῖται Σάπαρα . . .	ριβ ∠	ιθ ∠γ
τὸ ἕκτον, ὃ καλεῖται Σαβαλάεσσα	ριϛ	κ δ'
τὸ ἕβδομον, ὃ καλεῖται Λωνίβαρε . .	ριϛ ∠	κ δ'
§. 3. Βαρδάξημα πόλις	ριϛ γο'	ιθ γο'
Συράστρα κώμη	ριδ	ιθ ∠
Μονόγλωσσον ἐμπόριον	ριδ ϛ'	ιη γο'.

§. 4. Λαρικῆς,

Μωφίδος ποταμοῦ ἐκβολαί . . .	ριδ	ιη γ'

(*) *Πακιδάρη κώμη* .... ριγ		ιζ ∠γ
Μαλεὼ ἄκρον .... ρια		ιζ ∠
§. 5. *ἐν κόλπῳ Βαρυγαζηνῷ*		
Καμάνη .... ριβ		ιζ
Ναμάδου ποταμοῦ ἐκβολαί .. ριβ		ιζ ∠δ
Νουσαρίπα .... ριβ	∠	ις ∠
Πουλιπούλα .... ριβ	∠	ις
§. 6. *Ἀριακῆς Σαδινῶν*		
Σουπάρα .... ριβ	∠	ιε ∠
Γοάριος ποταμοῦ ἐκβολαί ... ριβ	δ'	ιε ς'
Δοῦγγα .... ρια	∠	ιε
Βήνδα ποταμοῦ ἐκβολαί .... ρι	∠	ιε
Σίμυλλα ἐμπόριον καὶ ἄκρα .. ρι		ιδ ∠δ
Ἱππόκουρα .... ρια	∠δ	ιδ ς'
Βαλτιπάτνα .... ρια	∠	ιδ γ'
§. 7. *ἀνδρῶν Πειρατῶν*		
Μανδάγαρα .... ριγ		ιδ
Βυζάντειον .... ριγ	γο'	ιδ γο'
Χερσόνησος .... ριδ	γ'	ιδ ∠
Ἀρμάγαρα .... ριδ	γ'	ιδ γ'
Ναναγούνα ποταμοῦ ἐκβολαί ριδ	∠	ιγ ∠γ
Νίτρα ἐμπόριον .... ριε	∠	ιδ γο'
§. 8. *Λιμυρικῆς*		
Τύνδις πόλις .... ρις		ιδ ∠
Βραμάγαρα .... ρις	∠δ	ιδ γ'
Καλαικαρίας .... ρις	γο'	ιδ
Μουζιρὶς ἐμπόριον .... ριζ		ιδ
Ψευδοστόμου ποταμοῦ ἐκβολαί ριζ	γ'	ιδ
Ποδοπέρουρα .... ριζ	γο'	ιδ δ'
Σέμνη .... ριη		ιδ γ'

Κορέουρα . . . . ριη̄ γο′ ιδ̄ γ′
Βακαρεῖ . . . . ριθ̄ ∠. ιδ̄ ∠
Βάριος ποταμοῦ ἐκβολαί . . . . ρκ̄ ιδ̄ γ′.

§. 9. Ἀϊῶν

Μελκύνδα . . . . ρκ̄ γ′ ιδ̄ γ′
Ἐλαγκὼν (ἢ Ἐλάγχωρ) ἐμπόριον . . . . ρκ̄ γο′ ιδ̄
Κοττιάρα μητρόπολις . . . . . . ρκᾱ ιδ̄
Βαμμάλα . . . . ρκᾱ γ′ ιδ̄ δ′
Κομαρία ἄκρον καὶ πόλις . . . ρκᾱ ∠δ ιγ̄ ∠.

§. 10. Καρέων,

ἐν κόλπῳ Κολχικῷ, ἐν ᾧ κολύμβησις πινικοῦ,

Σωσίκουραι . . . . ρκβ̄ ιδ̄ ∠
Κόλχοι ἐμπόριον . . . . ρκγ̄ ιε̄
Σωλῆνος ποταμοῦ ἐκβολαί . . . ρκδ̄ ιδ̄ γο.

§. 11. Πανδίονος χώρας,

ἐν κόλπῳ Ὀργαλικῷ,

Κῶρυ ἄκρον τὸ καὶ Καλλιγικὸν ρκε̄ γο′ ιγ̄ γ′
Ἀργείρου πόλις . . . . ρκε̄ δ′ ιδ̄ ∠
Σαλοὺρ ἐμπόριον . . . . ρκε̄ γ′ ιε̄ ∠.

§. 12. Βατῶν

Νίκαμα μητρόπολις . . . . ρκϛ̄ ιϛ̄
Θελχείρ . . . . ρκζ̄ ιϛ̄ ϛ′
Κούρουλα πόλις . . . . ρκη̄ ιϛ̄.

§. 13. τῆς ἰδίως καλουμένης Παραλίας,

Τωρίγγων

Χαβήρου ποταμοῦ ἐκβολαί . . . ρκθ̄ ιε̄ δ′
Χαβηρὶς ἐμπόριον . . . . ρκη̄ ∠ ιε̄ γο′
Σαβούρας ἐμπόριον . . . . ρλ̄ ιδ̄ ∠.

§. 14. Ἀρουάρνων

Πωδούκη ἐμπόριον	ρλ̄ δ΄	ιδ̄ ∠δ
Μελαγγὴ ἐμπόριον	ρλᾱ	ιδ̄ γ΄
(*) Τύνα ποταμοῦ ἐκβολαὶ	ρλᾱ γο΄	ιβ̄ ∠δ
Κόττις	ρλβ̄ γ΄	ιβ̄ ϛ΄
Μανάρφα (ἢ Μαναλιάρφα) ἐμπόριον	ρλγ̄ ϛ΄	ιβ̄.

§. 15. Μαισωλίας

Μαισώλου ποταμοῦ ἐκβολαὶ	ρλδ̄	ια̅ γο΄
Κοντακόσσυλα ἐμπόριον	ρλδ̄ ∠	ια̅ γο΄
Κοδδούρα	ρλε̄	ια̅ ∠
Ἀλλοσσύγνη ἐμπόριον	ρλε̄ γο΄	ια̅ γ΄
καὶ τὸ ἀφετήριον τῶν εἰς τὴν Χρυσῆν ἐμπλεόντων	ρλϛ̄ γ΄	ια̅.

§. 16. Ἐν Γαγγητικῷ κόλπῳ

Παλούρα (ἢ Πακούρα) πόλις	ρλϛ̄ γο΄	ια̅ γ΄
Νανίγαινα	ρλϛ̄ γ΄	ιβ̄
Κατικάρδαμα	ρλϛ̄ γ΄	ιβ̄ γο΄
Καννάγαρα	ρλϛ̄ ∠	ιγ̄ ∠
Μανάδα ποταμοῦ ἐκβολαὶ ...	ρλζ̄	ιδ̄
Κοττόβαρα	ρλζ̄ δ΄	ιδ̄ γο΄
Σιππάρα	ρλζ̄ γο΄	ιε̄ ∠.
Τύνδιος ποταμοῦ ἐκβολαὶ ...	ρλη̄ ∠.	ιϛ̄.

§. 17. Μαπούρα	ρλθ̄	ιϛ̄ ∠
Μινάγαρα	ρμ̄	ιζ̄ δ΄
Δωσάρωνος ποταμοῦ ἐκβολαὶ	ρμᾱ	ιζ̄ γο΄
Κώκαλα	ρμβ̄	ιη̄
Ἀδάμαντος ποταμοῦ ἐκβολαὶ	ρμβ̄ γο΄	ιη̄
Κώσαμβα ἢ Κώσαβα	ρμγ̄ ∠	ιη̄. δ΄.

§. 18. τοῦ Γάγγου ποταμοῦ τὸ δυσμικώτατον, ὃ
καλεῖται Κάμβυσον στόμα ...... ρμδ ∠' ιη δ'
Πόλουρα πόλις .... ρμε ιη ∠'
τὸ δεύτερον στόμα, ὃ καλεῖται Μέγα ρμε γο' ιη ∠'
τὸ τρίτον, ὃ καλεῖται Καμβήριχον ρμϛ ∠' ιη γο'
Τιλόγραμμον πόλις .... ρμζ γ' ιη
τὸ τέταρτον, ὃ καλεῖται Ψευδόστομον ρμζ γο' ιη ∠'
τὸ πέμπτον, ὃ καλεῖται Ἀντιβολή .. ρμη ∠' ιη δ'.

§. 19. Ὄρη δὲ ὀνομάζεται ἐν τῷ καλουμένῳ τμήματι τῆς Ἰνδικῆς τά τε Ἀπόκοπα, ἃ καλεῖται Ποιναὶ Θεῶν, ὧν τὰ πέρατα ἐπέχει μοίρας . ριϛ κγ
καὶ .... ρκδ κϛ.

§. 20. καὶ ὁ Σαρδώνυξ ὄρος, ἐν ᾧ ὁ ὁμώνυμος λίθος, οὗ τὸ μέσον ἐπέχει μοίρας ριζ κα.

§. 21. καὶ τὸ Οὐίνδιον ὄρος, οὗ τὰ πέρατα ἐπέχει μοίρας .... ρκζ κζ
καὶ .... ρλε κζ.

§. 22. καὶ τὸ Βηττιγώ, οὗ τὰ πέρατα ἐπέχει μοίρας .... ρκγ κα
καὶ .... ρλ κ.

§. 23. καὶ τὸ Ἀδείσαθρον, οὗ τὸ μέσον ἐπέχει μοίρας .... ρλβ κγ.

§. 24. καὶ τὸ Οὔξεντον, οὗ τὰ πέρατα ἐπέχει μοίρας .... ρλϛ κβ
καὶ .... ρμγ κδ.

§. 25. καὶ τὰ Ὀρούδια ὄρη, ὧν τὰ πέρατα ἐπέχει μοίρας .... ρλη ιη
καὶ .... ρλγ ιϛ.

§. 26. Ἡ δὲ τάξις τῶν εἰς τὸν Ἰνδὸν ῥεόντων ποταμῶν ἀπὸ τοῦ Ἰμάου ὄρους οὕτως ἔχει·

Κώα ποταμοῦ πηγαί	ρκ	λζ
Σουάστου ποταμοῦ πηγαί	ρκβ ∠	λς
τοῦ Ἰνδοῦ ποταμοῦ πηγαί	ρκε	λζ
Βιδάσπου ποταμοῦ πηγαί	ρκζ ∠	λς γο′
(*) Σανδαβὰλ ποταμοῦ πηγαί	ρκθ	λς
Ἄδριος ἢ Ῥουάδιος ποταμοῦ πηγαί	ρλ	λζ
Βιβάσιος ποταμοῦ πηγαί	ρλα	λε ∠
§. 27. Ζαράδρου ποταμοῦ πηγαί	ρλβ	λς
συμβολὴ Κώα καὶ Ἰνδοῦ	ρκδ	λα
συμβολὴ Κώα καὶ Σουάστου	ρκβ ∠	λα γο′
συμβολὴ Ζαράδρου καὶ Ἰνδοῦ	ρκδ	λ
συμβολὴ Ζαράδρου καὶ Βιδάσπου	ρκε	λ
συμβολὴ Ζαράδρου καὶ Βιβάσιος	ρλα	λδ
συμβολὴ Βιδάσπου καὶ Ἄδριος	ρκς ∠	λα ∠
συμβολὴ Βιδάσπου καὶ Σανδαβάλ	ρκς γο′	λβ γο′
§. 28. ἐκτροπὴ ἀπὸ τοῦ Ἰνδοῦ ποταμοῦ εἰς τὸ Οὐώνδιον ὄρος	ρκγ	κθ ∠
ἡ πηγὴ τῆς ἐκτροπῆς	ρκζ	κζ
ἐκτροπὴ τοῦ Ἰνδοῦ εἰς τὴν Ἀραχωσίαν	ρκα ∠	κζ ∠
ἐκτροπὴ τοῦ Κώα εἰς τοὺς Παροπανισάδας	ρκα ∠	λγ
ἡ πηγὴ τῆς ἐκτροπῆς	ριε	κδ ∠
ἐκτροπὴ τοῦ Ἰνδοῦ εἰς τὰ Ἄρβιτα ὄρη	ριζ	κε ς′
ἐκτροπὴ τοῦ Ἰνδοῦ εἰς τοὺς Παροπανισάδας	ρκδ ∠	λα γ′
ἐκτροπὴ τοῦ Ἰνδοῦ εἰς τὸ Σάγαπα στόμα	ριγ γο′	κγ δ′
ἀπὸ δὲ τοῦ Σάγαπα εἰς τὸν Ἰνδὸν	ρια	κα ∠
ἐκτροπὴ τοῦ Ἰνδοῦ εἰς τὸ Χρυσοῦν		

στόμα . . . . ριβ̄ ∠ κβ̄
ἐκτροπὴ τοῦ Ἰνδοῦ εἰς τὸ Χαρίφου
στόμα . . . . ριγ̄ ∠ κβ̄ γ′
ἀπὸ δὲ τοῦ Χαρίφου ἐπὶ τὸ Σάπαρα ριβ̄ ∠ κᾱ ∠δ
ἐκτροπὴ τοῦ αὐτοῦ Χαρίφου ποταμοῦ εἰς τὸ Σαβαλάεσσα στόμα . . . . ριγ̄ κᾱ γ′
ἐκτροπὴ ἀπὸ τοῦ Χαρίφου ποταμοῦ εἰς τὸ Λωνίβαρε στόμα . . . . ριγ̄ γ′ κᾱ γο′.

§. 29. Τῶν δὲ τῷ Γάγγῃ συνημμένων ποταμῶν ἡ τάξις οὕτως ἔχει·

Διαμούνα ποταμοῦ πηγαὶ . . . . ρλδ̄ ∠ λς̄
αὐτοῦ τοῦ Γάγγου αἱ πηγαὶ . . . . . ρλς̄ λξ
Σαράβου ποταμοῦ πηγαὶ . . . . ρμ̄ λ̄ς
συμβολὴ Διαμούνα καὶ Γάγγου . . . ρλ̄ς λ̄δ
συμβολὴ Σαράβου καὶ Γάγγου . . . ρλ̄ς ∠ λ̄β ∠

§. 30. ἐκτροπὴ ἀπὸ τοῦ Γάγγου ἐπὶ τὸ Οὐίνδιον
ὄρος τοῦ Σώα ποταμοῦ ἐκβολὴ . . . . ρλ̄ς ς′ λ̄α ∠
αἱ πηγαὶ τοῦ ποταμοῦ . . . . ρλ̄α κ̄η
ἐκτροπὴ τοῦ Γάγγου ἐπὶ τὸ Οὔξεντον ὄρος . . . . ρμ̄β κ̄η
αἱ πηγαὶ τῆς ἐκτροπῆς . . . . ρλ̄ζ κ̄γ
ἐκτροπὴ ἀπὸ τοῦ Γάγγου εἰς τὸ Κάμβυσον στόμα . . . . ρμ̄ς κβ̄
ἐκτροπὴ ἀπὸ τοῦ Γάγγου εἰς τὸ Ψευδόστομον . . . . ρμ̄ς ∠ κ̄
ἐκτροπὴ ἀπὸ τοῦ Γάγγου εἰς τὸ Ἀντιβολὴ στόμα . . . . ρμ̄ς ∠ κᾱ
ἐκτροπὴ ἀπὸ τοῦ Καμβύσου ποταμοῦ εἰς τὸ Μέγα στόμα . . . . ρμ̄ε κ̄

ἐκτροπὴ ἀπὸ τοῦ Μεγάλου στόματος εἰς τὸ Καμβήριχον στόμα . . . . ρμε ∠ ιθ ∠.

§. 31. Καὶ τῶν ἄλλων δὲ ποταμῶν αἱ θέσεις ἔχουσιν οὕτως·

Ναμάδου ποταμοῦ αἱ πηγαὶ ἀπὸ τοῦ Οὐϊνδίου ὄρους . . . . ρκζ κϛ ∠

(*) ἡ κατὰ Σηριπάλα τοῦ ποταμοῦ ἐπιστροφὴ . . . . ριϛ ∠ κβ

καθὸ συμβάλλει τῷ Μωφίδι ποταμῷ ριε ιη ∠:

§. 32. Ναναγούνα ποταμοῦ πηγαὶ ἀπὸ τοῦ Οὐϊνδίου ὄρους . . . . . ρλβ κϛ ∠

καθὸ σχίζεται εἴς τε τὸν Γόαριν καὶ τὸν Βίνδαν . . . . ριδ ιϛ·

§. 33. Ψευδοστόμου ποταμοῦ πηγαὶ ἀπὸ τοῦ Βηττιγὼ ὄρους . . . . . . ρκγ κα

ἐπιστροφὴ τοῦ ποταμοῦ . . . . ριη ∠ ιζ δ'·

§. 34. Βάριος ποταμοῦ πηγαὶ ἐν τῷ Βηττιγὼ ὄρει . . . . ρκζ· κϛ ∠

Σωλῆνος ποταμοῦ πηγαὶ ἐν τῷ Βηττιγὼ ὄρει . . . . ρκζ κ ∠

ἐπιστροφὴ τοῦ ποταμοῦ . . . . ρκδ ιη·

§. 35. Χαβήρου ποταμοῦ πηγαὶ ἐν τῷ Ἀδεισάθρῳ ὄρει . . . . ρλβ κβ·

§. 36. Τύνα ποταμοῦ πηγαὶ ἐν τοῖς Ὀρουδίοις (ἢ Ἀρουέδοις) ὄρεσιν ρλγ ιζ·

§. 37. Μαισώλου ποταμοῦ πηγαὶ ἐν τοῖς αὐτοῖς ὄρεσιν . . . . ρλδ ∠ ιζ ∠·

§. 38. Μάνδα ποταμοῦ πηγαὶ ἐν τοῖς αὐτοῖς ὄρεσιν . . . . ρλϛ ∠ ιϛ ∠·

§. 39. Τούνδιος ποταμοῦ πηγαὶ

ἐν τῷ Οὐξέντῳ ὄρει . . . . ρλζ κβ ∠·

§. 40. Δωσάρωνος ποταμοῦ πηγαὶ ἐν τῷ αὐτῷ ὄρει . . . . ρμ κδ·

§. 41. Ἀδάμαντος ποταμοῦ πηγαὶ ἐν τῷ αὐτῷ ὄρει . . . . ρμβ κδ.

§. 42. Ἡ δὲ τῶν ἐν τούτῳ τῷ τμήματι χωρῶν καὶ τῶν ἐν αὐτῷ πόλεων ἢ κωμῶν τάξις ἔχει τὸν τρόπον τοῦτον· ὑπὸ μὲν γὰρ τὰς τοῦ
Κώα πηγὰς ἵδρυνται Λαμβάται,
καὶ ἡ ὀρεινὴ αὐτῶν ἀνατείνει μέχρι τῆς τῶν Κωμηδῶν,
ὑπὸ δὲ τὰς τοῦ Σουάστου ἡ Σουαστηνή,
ὑπὸ δὲ τὰς τοῦ Ἰνδοῦ Δαράδραι,
καὶ ἡ ὀρεινὴ αὐτῶν ὑπέρκειται·
ὑπὸ δὲ τὰς τοῦ Βιδάσπου καὶ τοῦ Σανδαβὰλ καὶ τοῦ Ἄδριος πηγὰς ἡ Κασπειρία,
ὑπὸ δὲ τὰς Βιβάσιος καὶ τοῦ Ζαράδρου καὶ τοῦ Διαμούνα καὶ τοῦ Γάγγου ἡ Κυλινδρινή,
καὶ ὑπὸ μὲν τοὺς Λαμβάτας καὶ τὴν Σουαστηνὴν ἡ Γωρυαῖα,
καὶ πόλεις αἵδε·

§. 43. Καίσανα . . . . ρκ λδ γ΄
Βαρβοράνα . . . . ρκ δ΄ λγ γο΄
Γώρυα . . . . ρκβ λδ ∠δ
Νάγαρα ἡ καὶ Διονυσόπολις . ρκα ∠δ λγ
Δράστοκα . . . . ρκ ∠ λβ ∠·

§. 44. μεταξὺ δὲ τοῦ Σουάστου καὶ τοῦ Ἰνδοῦ Γανδάραι καὶ πόλεις αἵδε·
Προκλαῒς . . . . ρκγ λγ
Ναυλιβὶ . . . . ρκδ γ΄ λγ γ΄·

§. 45. μεταξὺ δὲ τοῦ Ἰνδοῦ καὶ τοῦ Βιδάσπου πρὸς μὲν τῷ Ἰνδῷ ἡ Ἄρσα χώρα καὶ πόλεις αἵδε·

Ἰθάγουρος . . . . ρκε̄ γὁ λ̄γ γ′
Ταξίαλα . . . . ρκε̄ λ̄β δ′·

§. 46. περὶ δὲ τὸν Βιδάσπην ἡ Πανδοούων χώρα, ἐν ᾗ πόλεις αἵδε·

Λάβακα . . . . ρκζ̄ ∠ λ̄δ δ′
Σάγαλα ἡ καὶ Εὐθυμηδία . . . ρκ̄ϛ γ′ λ̄β
Βουκέφαλα . . . . ρκε̄ ∠ λ̄ γ′
Ἰώμουσα . . . . ρκδ̄ δ′ λ̄.

§. 47. Τὰ δὲ ἐντεῦθεν πρὸς ἀνατολὰς κατέχουσι μέχρι τοῦ Οὐϊνδίου ὄρους Κασπειραῖοι, καὶ ἐν αὐτοῖς πόλεις αἵδε·

§. 48. Σαλάγισσα . . . . ρκθ̄ ∠ λ̄δ ∠
(*) Ἀστρασσός . . . . ρλᾱ δ′ λ̄δ δ′
Λάβοκλα . . . . ρκη̄ λ̄γ γ′
Βατάναγρα . . . . ρλ̄ λ̄γ ∠
Ἀρίσπαρα . . . . ρλ̄ λ̄β ∠γ.
Ἀμακάτις . . . . ρκη̄ δ′ λ̄β γ′
Ὀστοβαλάσαρα . . . . ρκθ̄ λ̄β·

§. 49. Κάσπειρα . . . . ρκζ̄ λ̄α δ′
Πασικάνα . . . . ρκη̄ ∠ λ̄α δ′
Δαιδάλα . . . . ρκη̄ λ̄ ∠
Ἀρδόνη . . . . ρκ̄ϛ δ′ λ̄ ϛ′
Ἰνδάβαρα . . . . ρκζ̄ δ′ λ̄
Λιγανείρα . . . . ρκε̄ ∠ κ̄θ
Χονναμάγαρα . . . . ρκη̄ κ̄θ γ′·

§. 50. Μόδουρα ἡ τῶν Θεῶν . . . . . ρκε̄ κ̄ζ ∠
Γαγασμίρα . . . . ρκ̄ϛ γὁ κ̄ζ ∠
Ἡράρασα μητρόπολις . . . . . . ρκγ̄ κ̄ϛ

Κογγάνδαυα . . . . ρκδ ιϛ·

§. 51. τούτων δὲ ἔτι ἀνατολικώτεροί εἰσιν οἱ *Γυμνοσοφισταί*, καὶ μετὰ τούτους περὶ τὸν Γάγγην ἀρκτικώτεροι μὲν *Δαιτῖχαι*, ἐν οἷς πόλεις αἵδε·

Κόντα . . . . ρλγ ∠ λδ γο'
Μάργαρα . . . . ρλε λδ
Βαταγκαίσσαρα . . . . ρλβ γο' λγ γ'
καὶ ἀπὸ ἀνατολῶν τοῦ ποταμοῦ
Πασσάλα . . . . ρλζ λδ δ'
Ὄρζα . . . . ρλϛ λγ γ'·

§. 52. ὑπὸ δὲ τούτους *Ἀνῖχαι*, ἐν οἷς πόλεις αἵδε·

Περσάκρα . . . . ρλδ λβ γο'
Σαννάβα . . . . ρλε λβ ∠
καὶ ἀπὸ ἀνατολῶν τοῦ ποταμοῦ
Τοάνα . . . . ρλϛ ∠ λβ·

§. 53. ὑπὸ δὲ τούτους ἡ *Πρασιακὴ*, ἐν ᾗ πόλεις αἵδε·

Σαμβαλάκα . . . . ρλβ δ' λα ∠γ'
Ἀδισδάρα . . . . ρλϛ λα ∠
Καναγόρα . . . . ρλε λ γο'
Κινδία . . . . ρλζ λ γ'
Σάγαλα . . . . ρλθ λ γ'
καὶ ἀπὸ ἀνατολῶν τοῦ ποταμοῦ
Ἀνινάχα . . . . ρλζ γ' λα ∠ϛ
Κοάγκα . . . . ρλη γ' λα ∠·

§. 54. ὑπὸ δὲ ταύτην ἡ *Σαυαραβάτις*, ἐν ᾗ πόλεις αἵδε·

Ἐμπηλάθρα . . . . ρλ λ
Ναδουβανδάγαρ . . . . ρλη γο' κθ

	Τάμασις	ρλγ	κθ
	Κουραπόρεινα	ρλ	κθ.

§. 55. *Πάλιν ἡ μὲν παρὰ τὸ λοιπὸν μέρος τοῦ Ἰνδοῦ πᾶσα καλεῖται κοινῶς μὲν* ***Ἰνδοσκυθία,*** *ταύτης δὲ ἡ μὲν παρὰ τὸν διαμερισμὸν τῶν στομάτων* ***Παταληνή,*** *καὶ ἡ ὑπερκειμένη αὐτῆς* ***Ἀβιρία,*** *ἡ δὲ περὶ τὰ στόματα τοῦ Ἰνδοῦ καὶ ἡ περὶ τὸν Κάνθι κόλπον* ***Συραστρηνή·*** *καὶ πόλεις τῆς Ἰνδοσκυθίας αἵδε· ἀπὸ μὲν δύσεως τοῦ ποταμοῦ ἄποθεν·*

§. 56.	*Ἀρτοάρτα*	ρκα ∠	λα δ'
	Ἀνδραπάνα	ρκα δ'	λ γο'
	Σάβανα	ρκβ γ'	λβ
	Βανάγαρα	ρκβ δ'	λ γο'
(*)	*Κοδράνα*	ρκα δ'	κθ γ'·
§. 57.	*καὶ παρ' αὐτὸν τὸν ποταμόν*		
	Ἐμβόλιμα	ρκδ	λα
	Πεντάγραμμα	ρκδ	λ γ'
	Ἀσίγραμμα	ρκγ	κθ ∠
	Τιαῦσα	ρκα γ'	κη ∠γ
	Ἀριστοβάθρα	ρκ	κζ ∠
	Ἄζικα	ριθ δ'	κζ·
§. 58.	*Παρδαβάθρα*	ριζ	κγ ∠
	Πίσκα	ρις ∠	κε
	Πασιπήδα	ριδ ∠	κδ
	Σουσικάνα	ριβ	κβ γ'
	Βῶνις	ρια	κα ∠
	Κωλάκα	ρι ∠	κ γο'·

§. 59. ἐν νήσοις δὲ ταῖς ὑπὸ τοῦ ποταμοῦ γινομέναις πόλεις αἵδε·

Πάταλα . . . . ριβ ∠γ κα

Βαρβαρεῖ . . . . ριγ δ΄ κβ ∠·

§. 60. ἀπὸ δὲ ἀνατολῶν τοῦ ποταμοῦ ἄποθεν πόλεις αἵδε·

Ξοδράκη . . . . ρις κδ

Σάρβανα . . . . ρις κβ ∠γ

Αὔξοαμίς . . . . ριε ∠ κβ γ΄

Ἀσίνδα . . . . ριδ δ΄ κβ

Ὀρβαδάρου ἢ Ὀρδαβαρί . . . . ριε κβ

Θεοφίλα . . . . ριδ δ΄ κα ς΄

Ἀστακάπρα . . . . ριδ γο΄ κ δ΄.

§. 61. Παρ᾽ αὐτὸν δὲ τὸν ποταμὸν πόλεις αἵδε·

Πάνασα . . . . ρκβ ∠ κθ

Βούδαια . . . . ρκα δ΄ κη δ΄

Ναάγραμμα . . . . ρκ κζ

Καμίγαρα . . . . ριθ κς γ΄

Βινάγαρα . . . . ριη κε γ΄

Παράβαλι . . . . ρις ∠ κδ ∠

Σύδρος . . . . ριδ κα γ΄

Ἐπίταυσα . . . . ριγ ∠δ κβ ∠

Ξόανα . . . . ριγ ∠ κα ∠.

§. 62. Τῆς δὲ Ἰνδοσκυθίας τὰ ἀπὸ ἀνατολῶν, τὰ μὲν ἀπὸ θαλάσσης κατέχει ἡ Λαρικὴ χώρα, ἐν ᾗ μεσόγειοι ἀπὸ μὲν δύσεως τοῦ Ναμάδου ποταμοῦ πόλις ἥδε·

Βαρύγαζα ἐμπόριον . . . . ριγ δ΄ ιζ γ΄·

§. 63. ἀπὸ δὲ ἀνατολῶν αὐτοῦ τοῦ ποταμοῦ

Ἀγρινάγαρα . . . . ριη δ΄ κβ ∠

Σιρίπαλλα	ρις	∠	κα	∠
Βαμμόγουρα	ρις		κ	∠δ
Σαζάντιον	ριε	∠	κ	∠
Ζηρογερεῖ	ρις	γ'	ιθ'	∠γ
Ὀζηνὴ βασίλειον Τιαστανοῦ	ριζ		κ	
Μινάγαρα	ριε	ς'	ιθ	∠
Τιάτουρα	ριε	∠γ	ιη	∠γ
Νασίκα	ριδ'		ιζ.	

§. 64. Τὰ δὲ ὑπερκείμενα κατανέμονται Πουλῖνδαι Ἀγριοφάγοι, καὶ ὑπὲρ αὐτοὺς ἔτι Χατριαῖοι, ἐν οἷς ἀπὸ δύσεως καὶ ἀπ' ἀνατολῶν τοῦ Ἰνδοῦ ποταμοῦ πόλεις αἵδε·

Νιγρανίγραμμα	ρκδ		κη	δ'
Ἀντάχαρα	ρκβ		κζ	γ'
Σουδασάννα	ρκγ		κς	∠γ
Συρνίσικα	ρκα		κς	∠
Πατιστάμα	ρκα		ε	
Τισαπάτιγγα	ρκγ		κδ	γ'.

§. 65. Πάλιν δὲ μεταξὺ τοῦ τε Σαρδώνυχος ὄρους καὶ τοῦ Βηττιγὼ κατέχουσι Τάβασοι ἔθνος μέγα, (*) τὰ δὲ ὑπὲρ τούτους μέχρι τοῦ Οὐϊνδίου ὄρους παρὰ μὲν τὸν Ναμάδην ἀπ' ἀνατολῶν Πραπιῶται, ἐν οἷς οἱ Ῥάμναι, καὶ πόλεις αἵδε·

Κογναβάνδα	ρκ	δ'	κγ	
Ὀζοαβίς	ρκ	∠	κγ	γο'
Ὄσθα	ρκβ	∠	κγ	∠
Κῶσα, ἐν ᾗ ἀδάμας	ρκα	γ'	κβ	∠.

§. 66. Περὶ δὲ τὸν Ναναγοῦναν Φυλλῖται καὶ Βηττιγοί, ἐν οἷς Κάνδαλοι μὲν παρὰ τοὺς Φυλλίτας καὶ τὸν ποταμόν, Ἀμβάσται δὲ παρὰ τοὺς Βηττιγοὺς καὶ τὸ ὄρος, καὶ πόλεις αἵδε·

§. 67. Ἄγαρα . . . . ρκθ γ' κε
Ἀδείσαθρα . . . . ρκη ∠ κδ ∠
Σόαρα . . . . ρκδ γ κδ
Νυγδόσορα . . . . ρκε κγ
Ἀναρα . . . . ρκβ ∠ κβ γ'.

§. 68. Μεταξὺ δὲ τοῦ Βηττιγῶ ὄρους καὶ τοῦ Ἀδεισάθρου Σῶραι νομάδες, ἐν οἷς πόλεις·
Σαγγάμαρτα . . . . ρλγ κα
Ἀρκατοῦ βασίλειον Σῶρα . . . ρλ κα·

§. 69. Πάλιν τὰ μὲν ἀπ' ἀνατολῶν τοῦ Οὐϊνδίου ὄρους κατέχουσι (Βιολίγγαι ἢ) Βωλίγγαι, ἐν οἷς πόλεις αἵδε·
Σταγάβαζα ἢ Βαστάγαζα . . . ρλγ κη ∠
Βαρδαῶτις . . . . ρλζ ∠ κη ∠.

§. 70. Τὰ δὲ ὑπὸ τούτους οἰκοῦσι Πωρούαροι, ἐν οἷς πόλεις αἵδε·
Βρίδαμα . . . . ρλδ ∠ κζ ∠
Θολουβάνα . . . . ρλς γ' κζ
Μαλαίτα . . . . ρλς ∠ κε ∠γ·

§. 71. καὶ ὑπ' αὐτοὺς μέχρι τοῦ Οὐξέντου ὄρους Ἀδείσαθροι, ἐν οἷς πόλεις αἵδε·
Μάλειβα . . . . ρμ κζ γ'
Ἀσπαθίς . . . . ρλη ∠ κε γ'

Πάνασσα .... ρκζ γο' κδ ∠
Σάγηδα μητρόπολις .... ρλγ κγ ∠
Βαλαντίπυργον .... ρλς ∠ κγ ∠·

§. 72. τούτων δὲ ἀνατολικώτεροι μέχρι τοῦ Γάγγου Μανδάλαι, ἐν οἷς πόλις

Ἀσθάγουρα .... ρμβ κε·

§. 73. Καὶ πρὸς αὐτῷ τῷ ποταμῷ πόλεις

Σαμβαλάκα .... ρμα κθ ∠
Σίγαλλα .... ρμβ κη
Παλιμβόθρα βασίλειον ..... ρμγ κζ
Ταμαλίτης .... ρμδ ∠ κς ∠
Ὀρεοφάντα .... ρμς ∠ κδ ∠·

§. 74. ὁμοίως δὲ τὰ μὲν ὑπὸ τὸ Βηττιγὼ ὄρος κατέχουσι Βραχμᾶναι μάγοι μέχρι τῶν Βατῶν, ἐν οἷς πόλις ἥδε·

Βράχμη .... ρκη ιθ·

§. 75. τὰ δὲ ὑπὸ τὸ Ἀδείσαθρον μέχρι τῶν Ἀρουραίων Βαδιαμαῖοι, ἐν οἷς πόλις

Τάθιλβα .... ρλδ ιη ∠γ·

§. 76. τὰ δὲ ὑπὸ τὸ Οὔξεντον Δριλοφυλλῖται, ἐν οἷς πόλεις

Σίβριον .... ρλθ κβ γ'
Ὀποτούρα .... ρλζ ∠ κα γο'
Ὀζόανα .... ρλη δ' κ ∠·

§. 77. (*) ὧν ἀνατολικώτεροι μέχρι τοῦ Γάγγου Κοκκονάγαι, ἐν οἷς πόλις

Δώσαρα .... ρμβ ∠ κβ ∠·

§. 78. Καὶ πρὸς τῷ ποταμῷ δυτικώτεραι

Καρτίναγα .... ρμς κγ
Καρτασίνα .... ρμς κα γο'·

§. 79. ὑπὸ δὲ τοὺς Μαισώλους Σαλακηνοὶ μὲν πρὸς τοῖς Ὀρουδίοις (ἢ Ἀρουραίοις) ὄρεσιν, ἐν οἷς πόλεις·

Βηνάγουρον	ρμ̄	κ̄ δ′
Κάστρα	ρλη̄	ιθ̄ ∠
Μάγαρις	ρλζ̄ ∠	ιη̄ γ′

§. 80. πρὸς δὲ τῷ Γάγγῃ ποταμῷ Σαβάραι, παρ' οἷς πλεῖστος ἀδάμας καὶ πόλεις αἵδε·

Τασόπιον	ρμ̄ ∠	κβ̄
Καρικάρδαμα	ρμᾱ	κ̄ δ′.

§. 81. Τὴν δὲ περὶ τὰ στόματα τοῦ Γάγγου πᾶσαν κατέχουσι Γαγγαρῖδαι, ἐν οἷς πόλις ἥδε·

Γάγγη βασίλειον	ρμς̄	ιθ̄ δ′.

§. 82. Λοιπὸν δὲ τῆς μὲν Ἀριακῆς εἰσι μεσόγειοι πόλεις καὶ κῶμαι, ἀπὸ μὲν δύσεως τοῦ Βήνδα ποταμοῦ πόλεις αἵδε·

Μαλίππαλα	ριθ̄ ∠	κ̄ δ′
Σαρισαβίς	ριθ̄ ∠	κ̄
Τάγαρα	ριη̄	ιθ̄ γ′
Βαίθανα, (βασίλειον [Σίρο]-πτολεμαίου?)	ριζ̄	ιη̄ ∠
Δεόπαλι ἢ Δεόπαλα	ριε̄ γο′	ιζ̄ ∠γ
Γαμαλίβα	ριε̄ δ′	ιζ̄ γ′
Ὀμηνόγαρα	ριδ̄	ις̄ γ′

§. 83. μεταξὺ δὲ τοῦ τε Βήνδα καὶ τοῦ Ψευδοστόμου

Ναγαρουρὶς (ἢ Ναγαρουραρίς)	ρκ̄	κ̄ δ′
Ταβασώ	ρκᾱ ∠	κ̄ γο′
Ἴνδη	ρκγ̄	κ̄ ∠δ

Τριπαγγαλίδα .... ρκᾱ δ΄ ιθ̄ γο΄
Ἱππόκουρα, βασίλειον Βαλεοκούρου .... ριθ̄ ∠δ ιθ̄ ς΄
Σουβούττου .... ρκ̄ δ΄ ιθ̄ ς΄
Σιριμάλαγα .... ριθ̄ γ΄ ιη̄ ∠
Καλλιγερίς .... ριη̄ ιη̄
Μοδόγουλλα .... ριθ̄ ιη̄
Πετίργαλα .... ριζ̄ ∠δ ιζ̄ δ΄
Βαναουασεί .... ρις̄ ις̄ ∠δ.

§. 84. Τῶν δὲ ἀνδρῶν Πειρατῶν μεσόγειοι πόλεις αἵδε·

Ὀλόχοιρα .... ριδ̄ ιε̄
Μουσοπάλλη μητρόπολις ... ριε̄ ∠ ιε̄ ∠δ.

§. 85. Λιμυρικῆς μεσόγειοι, ἀπὸ μὲν δύσεως τοῦ Ψευδοστόμου, πόλεις αἵδε·

Νάρουλλα .... ριξ̄ ∠δ ιε̄ ∠γ
Κοῦβα .... ριξ̄ ιε̄
Παλοῦρα .... ριξ̄ δ΄ ιδ̄ γο΄

§. 86. Μεταξὺ δὲ τοῦ Ψευδοστόμου καὶ τοῦ Βάριος πόλεις αἵδε·

Πασάγη .... ρκδ̄ ∠γ ιθ̄ ∠γ
Μαστάνουρ .... ρκᾱ ∠ ιη̄ γο΄
Κουρελλούρ .... ριθ̄ ιζ̄ ∠
Πουννάτα, ἐν ᾗ Βήρυλλος ... ρκᾱ γ΄ ιζ̄ ∠
Ἀλόη .... ρκ̄ γ΄ ιζ̄
Κάρουρα, βασίλειον Κηροβόθρου .... ριθ̄ ις̄ γ΄
Ἀρεμβούρ .... ρκᾱ ις̄ γ΄
Βιδερίς .... ριθ̄ ιε̄ ∠γ
Παντίπολις .... ριη̄ ιε̄ γ΄

Ἀδάριμα .... ριθ ∠ ιε γο'
Κορεούρ .... ρκ ιε·

§. 87. (*) Αἰῶν μεσόγειος

Μοροῦνδα .... ρκα γ' ιδ γ'·

§. 88. Καρέων μεσόγειοι

Μένδηλα .... ρκγ ιζ γο'
Σηλούρ .... ρκα ∠δ ις ∠
Τιττούα .... ρκβ ιε γ'
Μαντιττούρ .... ρκγ ιε ϛ'.

§. 89. Κανδιόνων μεσόγειοι

Ταινούρ .... ρκδ ∠δ ιη γο'
Περιγκαρεῖ .... ρκγ γ' ιη
Κορινδιούρ .... ρκε ιζ γο'
Τάγγαλα ἢ Τάγα .... ρκγ ∠ ις ∠γ
Μόδουρα, βασίλειον Πανδίονος .... ρκε ις γ'
Ἄκουρ .... ρκδ ∠δ ιε γ'·

§. 90. Βατῶν μεσόγειοι πόλεις

Καλλίνδοια .... ρκζ γο' ιζ ∠
Βάτα .... ρκϛ ∠ ιζ·
Τάλαρα .... ρκη ις ∠δ·

§. 91. παραλίας Σωρήτων πόλεις μεσόγειοι

Κάλλουρ .... ρκθ ιζ γ'
Τενναγόρα .... ρλβ ιζ
Εἰκούρ .... δκθ ις γο'
Ὄρθουρα, βασίλειον Σώραγος .... ρλ ις γ'
Βέρη .... ρλ γ' ις δ'
Ἄβουρ .... ρκθ ις
Κάρμαρα .... ρλ γ' ιε γο'

Μαγούρ	ρλ	ιε δ΄·

§. 92. Ἀρουάρνων πόλεις μεσόγειοι αἵδε·

Κεραυγή	ρλγ	ις δ΄
Φρούριον	ρλβ	ιε
Καρίγη	ρλβ γο΄	ιε
Πολεούρ	ρλα ∠	ιδ γο΄
Πικενδάκα	ρλα ∠	ιδ
Ἰατούρ	ρλβ ∠	ιδ
Σκοπόλουρα	ρλδ δ΄	ιδ ∠ιβ
Ἰκάρτα	ρλγ ∠	ιγ γο΄
Μάλαγγα, βασίλειον Βασαρώναγος	ρλγ	ιγ
Κανδίπατνα	ρλγ ∠	ιβ γ΄·

§. 93. Μαισώλων μεσόγειοι πόλεις,

Καλλίγα	ρλη	ιζ
Βαρδαμάνα	ρλς δ΄	ιε δ΄
Κορούγκαλα	ρλε	ιε
Φάρυτρα ἢ Φάρετρα	ρλδ γο΄	ιγ γ΄
Πίτυνδρα μητρόπολις	ρλε ∠	ιβ ∠.

§. 94. Νῆσοι δὲ παράκεινται τῷ ἐκκειμένῳ τῆς Ἰνδικῆς μέρει, ἐν μὲν τῷ Κάνθι κόλπῳ,

Βαράκη	ρια	ιη·

§. 95. ἐν δὲ τῇ μέχρι τοῦ Κολχικοῦ κόλπου παραλίῳ,

Μιλιζήγυρις (ἢ Μιλιζιγηρίς)	ρι	ιβ ∠
Ἑπτανησία	ριγ	ιγ
Τρικάδιβα	ριγ ∠	ια
Πεπερίνη	ριε	ιβ γο΄
Τρινησία	ρις γ΄	ιβ
Λεύκη	ριη	ιβ

Νανιγηρὶς . . . . ρκβ ιβ·

§. 96. ἐν δὲ τῷ Ἀργαρικῷ κόλπῳ,

Κῶρυ . . . . ρκϛ ∠ ιγ.

Κεφ. β΄.

(*) Τῆς ἐκτὸς Γάγγου Ἰνδικῆς θέσις.

[Ἀσίας πίναξ ια΄.]

§. 1. Ἡ ἐκτὸς Γάγγου Ἰνδικὴ περιορίζεται ἀπὸ μὲν δύσεως τῷ Γάγγῃ ποταμῷ, ἀπὸ δὲ ἄρκτων τοῖς ἐκτεθειμένοις μέρεσι τῆς τε Σκυθίας καὶ τῆς Σηρικῆς, ἀπὸ δὲ ἀνατολῶν τοῖς τε Σίναις κατὰ τὴν ἀπὸ τοῦ πρὸς τῇ Σηρικῇ πέρατος ἐκβαλλομένην μεσημβρινὴν γραμμὴν μέχρι τοῦ καλουμένου Μεγάλου κόλπου, καὶ αὐτῷ τῷ κόλπῳ, ἀπὸ δὲ μεσημβρίας τῷ τε Ἰνδικῷ πελάγει καὶ μέρει τῆς Πρασώδους θαλάσσης, ἥτις ἀπὸ τῆς Μενουθιάδος νήσου διατείνει κατὰ παράλληλον γραμμὴν μέχρι τῶν ἀντικειμένων τῷ Μεγάλῳ Κόλπῳ.

§. 2. Ἡ μὲν οὖν καὶ τούτου τοῦ τμήματος παράλιος ἔχει τὸν τρόπον τοῦτον· ἐν τῷ Γαγγητικῷ κόλπῳ μετὰ τὸ στόμα τοῦ Γάγγου τὸ καλούμενον Ἀντιβόλει.

Αἰῤῥάδων,

Πεντάπολις . . . . ρν ιη

Καταβήδα ποταμοῦ ἐκβολαί . . ρνα γ΄ ιζ

Βαράκουρα ἐμπόριον . . . . . . ρνβ ∠ ις

Τοκοσάννα ποταμοῦ ἐκβολαί . ρνγ ιδ ∠·

§. 3. Ἀργυρᾶς χώρας,

Σάμβρα πόλις	ρνγ ∠	ιγ ∠δ
Σάδα πόλις	ρνδ γ'	ια γ'
Σάδου ποταμοῦ ἐκβολαί	ρνγ ∠	ιβ ∠
Βηραβόννα ἐμπόριον	ρνε ∠	ι γ'
Τημάλα ποταμοῦ ἐκβολαί ...	ρνζ ∠	ι
Τημάλα πόλις	ρνζ ∠	θ
τὸ μετ' αὐτὴν ἀκρωτήριον ...	ρνζ γ'	η.

§. 4. Βησυγγειτῶν ἀνθρωποφάγων ἐν κόλπῳ Σαραβακῷ, ἐν ᾧ

Σάβαρα πόλις	ρνθ ∠	η ∠
Βησύγγα ποταμοῦ ἐκβολαί ..	ρξβ γ'	η γ'ιβ
Βήσυγγα ἐμπόριον	ρξβ	θ
Βήραβαι πόλις	ρξβ γ'	ς
τὸ μετ' αὐτὴν ἀκρωτήριον ...	ρνθ	δ γο'.

§. 5. Χρυσῆς Χερσονήσου,

Τάκωλα ἐμπόριον	ρξ	δ δ'
τὸ μετ' αὐτὴν ἀκρωτήριον ...	ρνη γο'	β γο'
Χρυσοάνα ποταμοῦ ἐκβολαί..	ρνθ	α
Σάβανα ἐμπόριον	ρξ	νότου γ
Παλάνδου ποταμοῦ ἐκβολαί..	ρξα	νότ. β
Μαλεοῦ κῶλον ἄκρον	ρξγ	νότ. β
Ἀττάβα ποταμοῦ ἐκβολαί ...	ρξδ	νότ. α
Κῶλι πόλις	ρξδ γ'	ἰσημερινός
Περίμουλα	ρξγ δ'	β γ'
Περιμουλικὸς κόλπος	ρξθ ∠	δ δ'.

§. 6. Ληστῶν χώρας,

Σαμαράδη	ρξγ	δ ∠γ
Παγράσα	ρξε	δ ∠γ

Σωβάνου ποταμοῦ ἐκβολαὶ . .	ρξε γο΄	δ ∠δ	
* * *			
Πιθώνοβάστη ἐμπόριον	ρξϛ γ΄	δ ∠δ	
Ἀκάδρα	ρξζ	δ ∠δ	
Ζάβαι ἡ πόλις	ρξη γο΄	δ ∠δ.	
§. 7. (*) Μεγάλου κόλπου τὸ κατὰ τὴν ἀρχὴν Μέγα ἀκρωτήριον	ρξθ ∠	δ δ΄	
Θαγόρα	ρξη	ϛ	
Βαλόγγα μητρόπολις	ρξζ ∠	ζ	
Θροάνα	ρξζ	η ∠	
Δοάνα ποταμοῦ ἐκβολαὶ	ρξζ	ι	
† † †			
Κορτάθα μητρόπολις	ρξζ	ιβ ∠	
Σίνδα πόλις	ρξζ δ΄	ιϛ. γο΄	
Πάγρασα	ρξζ ∠	ιδ ∠	
Δωρίου ποταμοῦ ἐκβολαὶ . . .	ρξη	ιε ∠	
* * * *			
Ἀγανάγαρα	ρξθ	ιϛ γ΄	
Σήρου ποταμοῦ ἐκβολαὶ	ροα ∠	ιζ γ΄	
† † † †			

*** Ad. §. 6. Interpres Latinus addit:

Fontes fluvii . . . . 162, 30. 13, 0.
om. libri Graeci, et scripti, et editi.

††† Ad. §. 7. Interpres Latinus addit:

Fontes fluvii . . . . 153. 27.

**** Interpres Latinus:

Fontes fluvii . . . . 163. 27.
(vel 162½ 28. Tabb. geogr.)

†††† Interpres Latinus:

Fontes fluvii	170. (¼ add. Tabb.)	32.
Alius fons	173. (½ add. Tabb.)	30.
Coniunctio	171.	27.

τὸ πρὸς τοὺς Σίνας τοῦ Μεγάλου κόλπου ὅριον .... ρογ   ιζ γ'.

§. 8. Ὄρη δὲ ἐν τούτῳ τῷ τμήματι κατονομάζεται τό τε Βήπυῤῥον, οὗ τὰ πέρατα ἐπέχει μοίρας .... ρμη   ιδ
καὶ .... ρνδ   κς
καὶ ὁ Μαίανδρος, οὗ τὰ πέρατα ἐπέχει μοίρας .... ρνβ   κδ
καὶ .... ρξ   ις
καὶ τὰ Δάμασσα (ἢ Δόβασσα) ὧν τὰ πέρατα ἐπέχει μοίρας .... ρξβ   κγ
καὶ .... ρξς   ιγ
καὶ τοῦ Σημανθινοῦ τὸ δυτικὸν μέρος, οὗ τὸ πέρας ἐπέχει μοίρας .... ρο   ιγ
καὶ .... ρπ   κς.

§. 9. Ἀπὸ μὲν οὖν τοῦ Βηπύῤῥου ἐμβάλλουσιν εἰς τὸν Γάγγην ποταμοὶ δύο, ὧν τοῦ μὲν ἀρκτικωτέρου αἱ πηγαὶ ἐπέχουσι μοίρας .... ρμη   ιγ
ἡ δὲ πρὸς τὸν Γάγγην ποταμὸν συναφὴ .... ρμ δ'   ι γ'
τοῦ δὲ μετ' αὐτὸν αἱ μὲν πηγαὶ ἐπέχουσι μοίρας .... ρμβ   κζ
ἡ δὲ πρὸς τὸν Γάγγην ποταμὸν συναφὴ .... ρμδ   κς.

§. 10. Ἀπὸ δὲ τοῦ Μαιάνδρου ῥέουσιν οἱ μετὰ τὸν Γάγγην μέχρι τοῦ Βησύγγα ποταμοῦ ποταμοί, ὁ δὲ Σῆρος ποταμὸς ἀπὸ τοῦ Σημανθινοῦ ὄρους ἀπὸ δύο πηγῶν, ὧν ἡ μὲν δυτικωτέρα ..... ρο ∠   ιβ
ἡ δὲ ἀνατολικωτέρα .... ρογ ∠   ι
συνάπτουσι δὲ περὶ μοίρας ...... ροα   κζ.

§. 11. ἀπὸ δὲ τῶν Δαμάσσων ὅ τε Δαόνας καὶ ὁ Δωρίας· (ἐκτείνεται δὲ καὶ μέχρι τοῦ Βηπύῤῥου ὁ Δοάνας·) καὶ ὁ Δωρίας . . . . ρξδ ∠ κη
ὁ δὲ Δοάνας, ἀπὸ μὲν τῶν Δαμάσσων ρξβ κζ ∠
ἀπὸ δὲ τοῦ Βηπύῤῥου ὄρους . . . . . ργ κζ ∠
καὶ συνάπτουσιν αἱ ῥύσεις περὶ μοίρας . . . . ρξ γ′ ιθ
ὁ δὲ Σωβάνας ποταμὸς, ὃς ῥεῖ ἐκ τοῦ Μαιάνδρου ὄρους εἰς μοίρας . . ρξγ ∠ ιγ·

§. 12. καὶ οἱ τὴν Χρυσῆν Χερσόνησον διαῤῥέοντες, καὶ ἀλλήλοις συμβάλλοντες πρότερον, ἀπὸ τῶν ὑπερκειμένων τῆς Χερσονήσου ῥάχεων ἀνωνύμων· ὁ εἷς ῥέων εἰς τὴν Χερσόνησον πρότερον ἀποσχίζει τὸν Ἀττάβαν περὶ μοίρας . . . . ρξα β γ′
τὸν δὲ Χρυσοάναν περὶ μοίρας . . . . ρξα α γ′
(*) ὁ δὲ λοιπὸς γίνεται ὁ Παλάνδας.

§. 13. Κατέχουσι δὲ τούτου τοῦ μέρους τὰ μὲν ἀπ' ἀνατολῶν τοῦ Γάγγου παρ' ὅλην τὴν τοῦ ποταμοῦ πλευρὰν, ἀρκτικώτεροι μὲν Γαγγανοὶ, δι' ὧν ὁ Σάραβος ποταμὸς ῥεῖ, ἐν οἷς πόλεις αἵδε·

Σάπολος . . . . ρλθ γ′ λε
Στόρνα . . . . ρλη γο′ λδ γο′
Ἑόρτα . . . . ρλη ∠ λδ
Ῥάπφα . . . . ρλξ γο′ λγ γο′·

§. 14. ὑπὸ δὲ τούτους Μαροῦνδαι μέχρι τῶν Γαγγαριδῶν, ἐν οἷς πόλεις πρὸς τῷ Γάγγῃ ποταμῷ, ἀπ' ἀνατολῶν,

Βόραιτα . . . . ρμβ γ′ κθ
Κωρύγαζα . . . . ρμγ ∠ κζ δ′
Κόνδωτα . . . . ρμε κς

Κέλυδνα . . . . ρμϛ̄ ∠ κθ̄ ∠
Ἀγαναγόρα . . . . ρμϛ̄ ∠ κβ̄ ∠
Τάλαργα . . . . ρμϛ̄ γὸ κᾱ γό.

§. 15. Μεταξὺ δὲ τοῦ Ἰμάου ὄρους καὶ τοῦ Βηπύῤῥου ὄρους **Τακοραῖοι**
μὲν εἰσιν ἀρκτικώτεροι, **Κοράγκαλοι**
δὲ ὑπ' αὐτούς,
εἶτα **Πασσάλαι,**
μεθ' οὓς ὑπὲρ τὸν Μαίανδρον **Τιλάδαι,**

καλοῦσι δὲ οὕτως τοῦ Βησείδας· εἰσὶ γὰρ κολοβοί, καὶ πλατεῖς, καὶ δασεῖς καὶ πλατυπρόσωποι, λευκοὶ μέντοι τὰς χρόας.

§. 16. Ὑπὲρ δὲ τὴν Κιῤῥαδίαν, ἐν ᾗ φασι γίγνεσθαι τὸ κάλλιστον μαλάβαθρον, παρήκουσι μὲν τοῦ Μαιάνδρου ὄρους **Ζαμῖραι** ἀνθρωποφάγοι.

§. 17. Τῆς δὲ Ἀργυρᾶς χώρας, ἐν ᾗ πλεῖστα λέγεται εἶναι μέταλλα ἀσήμου, ὑπέρκειται πλησιάζουσα τοῖς Βησυγγείταις ἡ Χρυσῆ χώρα, καὶ αὕτη πλεῖστα μέταλλα ἔχουσα χρυσίου, καὶ τοὺς κατανεμομένους αὐτὴν ὁμοίως λευκόχροας τε καὶ δασεῖς, καὶ κολοβοὺς καὶ σιμούς.

§. 18. Πάλιν δὲ μεταξὺ τοῦ Βηπύῤῥου ὄρους καὶ τῶν Δαμάσσων ὀρέων τὰ μὲν ἀρκτικώτατα κατέχουσιν **Ἀνινάχαι** (ἢ Ἀμινάχαι),
ὑπὸ δὲ τούτους **Ἰνδαπρᾶθαι,**
μεθ' οὓς **Ἰβηρίγγαι,**
εἶτα **Δαβάσαι** (ἢ Δαμάσσαι?),

καὶ μέχρι τοῦ Μαιάνδρου — *Ναγγαλόγαι.*
ὃ σημαίνει *γυμνῶν κόσμος*·

§. 19. καὶ μεταξὺ τῶν Δαμάσσων ὀρῶν καὶ τοῦ πρὸς τοὺς Σίνας ὁρίου ἀρκτικώτατοι — *Κάκοβαι*·
καὶ ὑπὸ τούτους — *Βασανᾶραι*·

§. 20. εἶτα ἡ — *Χαλκῖτις χώρα*,
ἐν ᾗ πλεῖστα μέταλλα χαλκοῦ·
ὑπὸ δὲ ταύτην μέχρι τοῦ Μεγάλου κόλπου — *Κουδοῦται*
καὶ — *Βάῤῥαι*
μεθ᾽ οὓς — *Ἰνδοί*,
εἶτα — *Δοᾶναι*
παρὰ τὸν ὁμώνυμον ποταμόν·

§. 21. καὶ μετὰ τούτους ὀρεινὴ συνάπτουσα τῇ τῶν *Ληστῶν χώρᾳ*, τίγρεις ἔχουσα καὶ ἐλέφαντας· αὐτοὺς δὲ τοὺς τῶν Ληστῶν χώραν κατανεμομένους θηριώδεις τε εἶναι λέγουσι καὶ ἐν σπηλαίοις οἰκοῦντας καὶ τὸ δέρμα ἔχοντας παραπλήσιον ἵππων ποταμίων, ὡς μὴ διακόπτεσθαι βέλεσιν.

§. 22. (*) *Πόλεις* δὲ καὶ κῶμαι τούτου τοῦ τμήματος ὀνομάζονται μεσόγειοι μετὰ τὰς παρὰ τὸν Γάγγην ποταμὸν ἐκτεθειμένας αἵδε·

Σηλαμπούρα	ρμη ∠	λγ γ'
Κανόγιζα	ρμγ	λβ
Κασσίδα	ρμϛ	λα ϛ'
Ἔλδανα	ρνϑ	λα
Ἀσαναβάρα	ρνε	λα ∠
Ἀρχινάρα	ρξγ	λα
Οὐραθῆναι	ρο	λα γ'
Σουαναγούρα	ρμε ∠	κθ ∠

Σαγῶδα ἢ Σαδῶγα	ρνε γ'	κθ γ'
Ἀνίνα	ρξβ	κθ
Σαλάθα	ρξε γο'	κη γ'.
§. 23. Ῥαδαμαρκόττα, ἐν ᾗ πολλὴ * νάρδος	ροβ	κη
Ἀθηνάγουρον	ρμς γ'	κζ
Μανίαινα (ἢ Μανιάταια) ...	ρμζ δ'	κδ γο'
Τωσαλεῖ μητρόπολις	ρν	κγ γ'
Ἀλοσάγγα	ρνβ	κδ δ'
Ἀδεισάγα	ρνθ ∠	κγ
Κιμάρα	ρο	κγ δ'
Παρίσαρα	ρνθ	κα ∠
Τοῦγμα μητρόπολις	ρνβ ∠	κβ δ'
Ἀρισάβιον	ρνη ∠	κβ ∠
Ποσινάρα	ρξβ δ'	κβ ∠γ
Πάνδασα	ρξε	κα γ'
Σιπιβηρὶς (ἢ Σιττηβηρίς)....	ρο	κγ δ'
Τρίγλυπτον, τὸ καὶ Τρίλιγγον, βασίλειον	ρνδ	ιη

ἐν ταύτῃ ἀλεκτρυόνες λέγονται εἶναι πωγωνίαι, καὶ κόρακες καὶ ψιττακοὶ λευκοί.

§. 24. Δαριαγάρα	ρξζ ∠	ιη δ'
Ῥιγγίβηρι	ρξς	ιη
Ἀγίμοιθα	ρο γο'	ιη γο'
Τόμαρα	ροβ	ιη
Δάσανα ἢ Δοάνα	ρξε	ιε γ'
Μαρέουρα μητρόπολις ἢ καὶ Μάλθουρα καλουμένη....	ρνη	ιβ ∠
Λάσιππα (ἢ Λάσυππα)	ρξα	ιβ ∠
Βαρευκόρα (ἢ Βαρευάθρα)..	ρξδ ∠	ιβ ∠γ.

§. 25. καὶ ἐν τῇ Χρυσῇ Χερσοννήσῳ

Βαλόγκα .... ρξβ . δ γο'
Κοκκονάγαρα .... ρ̄ξ β̄ . .
Θάῤῥα .... ρξϛ νότ. ᾱ γ'
Παλάνδα .... ρξᾱ νότ. ᾱ γ'.

§. 26. Νῆσοι δὲ φέρονται κατὰ τοῦ ἐκκειμένου τῆς Ἰνδικῆς τμήματος αἵδε·

Βαζακάτα .... ρμθ ∠ θ ∠
[Χαλίνη .... ρμζ θ γ']·

ἐν ταύτῃ κόχλον τινὲς πολὺν γίνεσθαί φασι, τοὺς δὲ κατανεμομένους γυμνοὺς διατελεῖν, καὶ καλεῖσθαι Ἀγιννάτας.

§. 27. Εἰσὶ δὲ νῆσοι τρεῖς Ἀνθρωποφάγων, Σίνδαι καλούμεναι, ὧν τὸ μεταξὺ ἐπέχει

μοίρας .... ρνϛ νότ. η̄ γο'
Ἀγαθοῦ Δαίμονος .... ρμε̄ δ' ἰσημερινός

§. 28. Βαροῦσαι πέντε, ἐν αἷς ἀνθρωποφάγους εἶναί φασι τοὺς κατανεμομένους, τὸ δὲ μεταξὺ τῶν νήσων ἐπέχει μοίρας .... ρνβ γ' νότ. ε̄ γ'

Σαβαδεῖβαι νῆσοι τρεῖς Ἀνθρωποφάγων, ὧν τὸ μεταξὺ ἐπέχει μοίρας ρ̄ξ νότου η̄ ∠·

§. 29. Ἰαβαδίου (ἢ Σαβαδίου), ὃ σημαίνει κριθῆς, νῆσος· εὐφορωτάτη δὲ λέγεται ἡ νῆσος εἶναι καὶ ἔτι πλεῖστον χρυσὸν ποιεῖν, ἔχειν τε μητρόπολιν, ὄνομα Ἀργυρῆν, ἐπὶ τοῖς δυσμικοῖς πέρασιν· αὕτη μὲν οὖν ἐπέχει μοίρας ... ρξζ νότ. η̄ ∠
τὸ δὲ ἑῷον τῆς νήσου πέρας ...... ρξθ νότ. η̄ ς'·

§. 30. (*) Σατύρων νῆσοι τρεῖς, ὧν τὸ μεταξὺ μοῖραι .... ροᾱ νότ. β ∠·

ταύτας οἱ κατέχοντες οὐρὰς ἔχειν λέγονται, ὁποίας διαγράφουσι τὰς τῶν Σατύρων·

§. 31. φέρονται δὲ καὶ ἄλλαι συνεχεῖς δέκα νῆσοι, καλούμεναι Μανιόλαι, ἐν αἷς φασι τὰ σιδηροῦς ἔχοντα ἥλους πλοῖα κατέχεσθαι, μήποτε τῆς Ἡρακλείας λίθου περὶ αὐτὰς γεννωμένης, καὶ διὰ τοῦτο ἐπ' οὔροις ναυπηγεῖσθαι, κατέχειν τε καὶ αὐτὰς ἀνθρωποφάγους καλουμένους Μανιόλας, καὶ τούτων
δὲ τὸ μεταξὺ ἐπέχει μοίρας . . . . . ρμβ νότ. β.

Κεφ. γ'.

Σ ι ν ῶ ν θ έ σ ι ς.

['Ασίας πίναξ ια'.]

§. 1. Οἱ Σῖναι περιορίζονται ἀπὸ μὲν ἄρκτων τῷ ἐκτεθειμένῳ μέρει τῆς Σηρικῆς, ἀπὸ δὲ ἀνατολῶν καὶ μεσημβρίας ἀγνώστῳ γῇ, ἀπὸ δὲ δύσεως τῇ ἐκτὸς Γάγγου Ἰνδικῇ κατὰ τὴν διωρισμένην μέχρι τοῦ Μεγάλου κόλπου γραμμήν, καὶ αὐτῷ τῷ Μεγάλῳ κόλπῳ καὶ τοῖς ἐφεξῆς αὐτῷ κειμένοις, τῷ τε καλουμένῳ Θηριώδει καὶ τῷ τῶν Σινῶν, ὃν περιοικοῦσιν Ἰχθυοφάγοι Αἰθίοπες, κατὰ περιγραφὴν τοιαύτην·

§. 2. μετὰ τὸ πρὸς τῇ Ἰνδικῇ τοῦ κόλπου ὅριον,
Ἀσπίθρα ποταμοῦ ἐκβολαί . . . . . . ρο ις
αἱ πηγαὶ τοῦ ποταμοῦ ἀπὸ τῶν ἑωθινῶν τοῦ Σημαθινοῦ ὄρους μερῶν ρπ κς
Βράμμα πόλις . . . . ροξ ιβ ∠
Ἀμβάστου ποταμοῦ ἐκβολαί . . ροξ ι

αἱ πηγαὶ τοῦ ποταμοῦ	ροθ ∠'	ιε	
Ῥάβανα πόλις	ροζ	η	∠'
Σαίνου ποταμοῦ ἐκβολαί	ρος γ'	ς	∠'
τὸ Νότιον ἄκρον	ροε δ'	δ	
τοῦ Θηριώδους κόλπου ὁ μυχός	ρος	β	
Σατύρων ἄκρον	ροε	ἰσημερινός	

* *

§. 3. *Καὶ ἐν τῷ τῶν Σινῶν κόλπῳ περιοικοῦσιν Ἰχθυοφάγοι Αἰθίοπες.*

Κοττιάριος ποταμοῦ ἐκβολαί	ροζ γ'	νότου ξ	
αἱ πηγαὶ τοῦ ποταμοῦ	ρπ γο'	νότ. β	
καθ' ὃ συμβάλλει τῷ Σαίνῳ ποταμῷ	ρπ	ἰσημερινός	
Καττίγαρα, ὅρμος Σινῶν	ροζ	νότ. η	∠'.

§. 4. Κατέχουσι δὲ τῆς χώρας

τὰ μὲν ἀρκτικώτατα	Σημανθινοὶ
ὑπὲρ τὸ ὁμώνυμον ὄρος,	
ὑπὸ δὲ τούτους καὶ τὸ ὄρος	Ἀκάδραι,
μεθ' οὓς	Ἀσπίθραι,
εἶτα παρὰ τὸν Μέγαν κόλπον	Ἀμβάσται,
καὶ περὶ τοὺς ἐφεξῆς κόλπους	Ἰχθυοφάγοι Σῖναι.

§. 5. Πόλεις δὲ τῶν Σινῶν ὀνομάζονται μεσόγειοι αἵδε·

Ἀκάδρα	ροη γ'	κα	δ'
Ἀσπίθρα	ροε	ις	
Κοκκονάγαρα	ροθ ∠γ	νότ. β	

* * §. 2. extr. Interpres latinus:
Sinarum sinus 178. austr. 2, 20.

(*) Σάρατα .... ρπ ∠ νότ. δ·

§. 6. καὶ ἡ μητρόπολις Σῖναι ἢ
Θῖναι .... ρπ γο' νότ. γ

οὔτε μέντοι χαλκᾶ τείχη φασὶν αὐτὴν ἔχειν, οὔτε ἄλλο τι ἀξιόλογον· περιέχεται δὲ ἀπὸ τῶν Καττιγάρων πρὸς τὰς δυσμὰς ἀγνώστῳ γῇ, περιλαμβανούσῃ τὴν Πρασώδη θάλασσαν μέχρι τοῦ Πράσου ἀκρωτηρίου, ἀφ' οὗ ἄρχεται, ὡς εἴρηται, ὁ τῆς Βατραχείας θαλάσσης κόλπος, συνάπτων τὴν γῆν τῷ τε Ῥαπτῷ ἀκρωτηρίῳ καὶ νοτίοις μέρεσι τῆς Ἀζανίας.

Κεφ. δ'.

Ταπροβάνης νήσου θέσις.

[Ἀσίας πίναξ ιβ'.]

§. 1. Τῷ δὲ Κῶρυ ἀκρωτηρίῳ, τῷ τῆς Ἰνδικῆς, ἀντίκειται τὸ τῆς Ταπροβάνης νήσου ἄκρον, ἥτις ἐκαλεῖτο πάλαι Σιμούνδου, νῦν δὲ Σαλίκη· καὶ οἱ κατέχοντες αὐτὴν κοινῶς Σάλαι, μαλλοῖς γυναικείοις εἰς ἅπαν ἀναδεδεμένοι. Γίνεται δὲ παρ' αὐτοῖς ὄρυζα, μέλι, ζιγγίβερι, βήρυλλος, ὑάκινθος, μέταλλα παντοῖα χρυσοῦ καὶ ἀργύρου καὶ τῶν ἄλλων· γεννᾷ δὲ καὶ ἐλέφαντας καὶ τίγρεις.

§. 2. Τὸ μὲν οὖν εἰρημένον αὐτῆς ἀκρωτήριον, καὶ ἀντικείμενον τῷ Κῶρυ ἐπέχει μοίρας ρκς ιβ ∠
καὶ καλεῖται Βόρειον ἄκρον.

§. 3. Ἡ δὲ ἄλλη περιγραφὴ ἔχει τὸν τρόπον τοῦτον·

μετὰ τὸ Βόρειον ἄκρον, ὃ ἐπέχει μοίρας	ρκϛ	ιβ ∠
Γάλιβα ἄκρα	ρκδ	ια ∠
Μάργανα πόλις	ρκγ ∠	ι γ'
Ἰωγάνα πόλις	ρκγ γ'	η ∠γ
Ἀναρισμούνδου ἄκρον	ρκβ	ζ ∠δ
Σοάνα ποταμοῦ ἐκβολαί	ρκβ γ'	ϛ δ'
αἱ πηγαὶ τοῦ ποταμοῦ	ρκδ ∠	γ
Σινδοκάνδα πόλις	ρκβ	ε
Πριάπιδος λιμήν	ρκβ	γ γο'
§. 4. Ἀνουβίγγαρα	ρκα	β γο'
Διὸς ἄκρα	ρκ ∠	α
Πρασώδης κόλπος	ρκα	β
Νούβαρθα πόλις	ρκα γο'	ἰσημεριν.
Ἀζάνου ποταμοῦ ἐκβολαί	ρκγ γ'	νότου α
αἱ πηγαὶ τοῦ ποταμοῦ	ρκϛ	βορ. α
Ὄδωκα πόλις	ρκγ	νότ. β
Ὀρνέων ἄκρα	ρκε	νότ. β ∠
§. 5. Δάγανα πόλις ἱερὰ Σελήνης	ρκϛ	νότ. β
Κορκόβαρα πόλις	ρκζ γο'	νότ. β γ'
Διονύσου ἄκρον	ρλ	νότου α ∠
Κηταῖον ἄκρον	ρλβ ∠	νότ. β γ'
Βαράκου ποταμοῦ ἐκβολαί	ρλα ∠	βορ. α
αἱ πηγαὶ τοῦ ποταμοῦ	ρκη	βορ. β
Βώκανα πόλις	ρλα	βορ. α γ'
Μάρδου λιμὴν ἢ Μαρδουλάμνη	ρλα	βορ. β γ'
§. 6. (*) Ἀβαράθα πόλις	ρλα	βορ. γ δ'
Ἡλίου λιμήν	ρλ	δ
Αἰγιαλὸς Μέγας	ρλ	δ γ'
Πρόκουρι πόλις	ρλα	ε γο'

Ῥιζάλα λιμὴν............	ρλ γο'	ϛ ∠
Ὀξεῖα ἄκρα............	ρλ	ζ ∠
Γάγγου ποταμοῦ ἐκβολαί ...	ρκθ	ζ γ'
αἱ πηγαὶ τοῦ ποταμοῦ	ρκζ	ζ δ'
Σπατάνα λιμὴν	ρκθ	η
§. 7. Ναγάδιβα πόλις ἢ Ναγάδινα	ρκθ	η ∠
Πατὶ κόλπος............	ρκη ∠	θ ∠
Ἀνουβίγγαρα πόλις	ρκη γο'	θ γο'
Μοδούττου ἐμπόριον	ρκη	ια γ'
Φάσιος ποταμοῦ ἐκβολαί ...	ρκζ	ια γ'
αἱ πηγαὶ τοῦ ποταμοῦ	ρκϛ	η
Ταλάκωρυ (ἢ Ἀακότη) ἐμπόριον................	ρκϛ γ'	ια γο'

μεθ' ὃ τὸ Βόρειον ἄκρον.

§. 8. Ὄρη δέ ἐστιν ἀξιόλογα τῆς νήσου τά τε καλούμενα Γάλιβα, ἐξ ὧν ῥέουσιν ὅ τε Φάσις καὶ ὁ Γάγγης, καὶ τὸ καλούμενον Μαλαία, ἐξ οὗ ῥέουσιν ὅ τε Σοάνας καὶ ὁ Ἀζάνος καὶ ὁ Βαράκης· καί εἰσιν ὑπὸ τοῦτο τὸ ὄρος μέχρι θαλάσσης ἐλεφάντων νομαί.

§. 9. Κατέχουσι δὲ τῆς νήσου

τὰ μὲν ἀρκτικώτατα	Γάλιβοι,
καὶ	Μουδοῦττοι,
ὑπὸ δὲ τούτους	Ἀνουρόγραμμοι,
καὶ	Ναγάδιβοι,
καὶ ὑπὸ μὲν τοὺς Ἀνουρογράμμους	Σόανοι,
ὑπὸ δὲ τοὺς Ναγαδίβους	Σεννοί,
ἔτι δὲ ὑπὸ τούτους	Σανδοκάνδαι

μὲν τὰ πρὸς δυσμάς,
καὶ ὑπ' αὐτοὺς μέχρι τῶν νομῶν

τῶν ἐλεφάντων Βουμάσανοι,
Τάραχοι
δὲ τὰ πρὸς ἀνατολάς, ὑφ' οὓς Βωκανοί,
καὶ Διόρδουλοι,
καὶ μεσημβρινώτατοι Ῥογανδανοί,
καὶ Νάγειροι.

§. 10. Πόλεις δέ εἰσιν ἐν τῇ νήσῳ μεσόγειοι αἵδε·

Ἀνουρόγραμμον βασίλειον . . . ρκδ ς' η γο'
Μαάγραμμον μητρόπολις . . . ρκζ ζ γ'
Ἀδείσαμον . . . . ρκθ ε
Ποδούκη . . . . ρκδ γ γο'
Οὐλίσπαδα . . . . ρκς γ' βορ. γο'
Νακάδουβα . . . . ρκη ∠ ἰσημερινός.

§. 11. Πρόκειται δὲ τῆς Ταπροβάνης στίφος νήσων, ἅς φασιν εἶναι τὸν ἀριθμὸν α τ ο η. Ὧν μέντοι τὰ ὀνόματα φέρεται, εἰσὶν αἵδε·

Οὐαγγαλία (ἢ Οὐάγγανα) . . . ρκ δ' ια γ'
Κάναθρα . . . . ρκα γο' ια δ'
Αἰγιδίων . . . . ριη η ∠
Ὀρνέων . . . . ριθ η ∠
Μονάχη . . . . ρις δ δ'
Ἀμμίνη . . . . ριζ δ ∠.

§. 12. Καρκός . . . . ριη νότ. γο'
Φίληκος . . . . ρις ∠ νότ. β γο'
(*) Εἰρήνη . . . . ρκ νότ. β ∠
Καλανδαδρούα . . . . ρκα νότ. ε ∠
Ἀβράνα . . . . ρκε νότ. δ γ'
Βάσσα . . . . ρκς νότ. ς ∠
Βαλάκα . . . . ρκθ νότ. ε ∠
Ἄλαβα . . . . ρλα νότ. δ

	Γουμάρα	ρλγ	νότ. α	γο'
§. 13.	Ζάβα	ρλε		ἰσημερινός
	Ζίβαλα	ρλε	βορ. δ	δ'
	Ναγάδιβα	ρλε	η	L
	Σουσουάρα	ρλε	ια	δ'.

§. 14. Ἡ μὲν οὖν τῶν τῆς οἰκουμένης ἐπαρχιῶν τε καὶ σατραπιῶν κατὰ μέρος ὑφήγησις τοῦτον ἡμῖν ἐφωδεύσθω τὸν τρόπον. Ἐπεὶ δὲ ὑπεδείξαμεν ἐν ἀρχῇ τῆς συντάξεως, πῶς ἂν καταγράφοιτο τὸ ἐγνωσμένον τῆς γῆς μέρος ἐπί τε σφαίρας, καὶ ἔτι εἰς ἐπίπεδον ἐπιφάνειαν, ὁμοίως τε καὶ συμμέτρως ὡς ἔνι μάλιστα τοῖς ἐπὶ τῆς στερεᾶς σφαίρας καταλαμβανομένοις, ἁρμόζει δὲ ταῖς τοιαύταις τῆς ὅλης οἰκουμένης ἐκθέσεσιν ὑπογραφήν τινα κεφαλαιώδη παραθέσθαι πρὸς ἔνδειξιν τῶν καθόλου θεωρουμένων· γένοιτο ἂν καὶ αὕτη κατὰ τὸν προσήκοντα λόγον, εἰ οὕτως ἔχει.

Κεφ. ε'.

Ὑπογραφὴ κεφαλαιώδης τοῦ τῆς οἰκουμένης πίνακος.

§. 1. Τῆς καθ' ἡμᾶς οἰκουμένης ἐν ἠπείροις διῃρημένης τρισὶν ὑπὸ τῶν ἀρχαιοτέρων κατὰ μέρος ἐπ' ἀκριβὲς ἱστορησάντων ἀναγραφάς τε καταλελοιπότων τοῖς καθ' ἕκαστον, ὡς ἐν ἱστορίᾳ, καὶ αὐτοὶ προσεπενοήσαμεν, τὰ μὲν ἑωρακότες, τὰ δὲ καὶ παρ' αὐτῶν ἀκριβῶς ἐκλαβόντες, πίνακος ὥσπερ τρόπον πάσης τῆς οἰκουμένης ὑποτυπῶσαι, ὡς ἂν μηδὲν τοῖς φιλομαθέσιν ἄπειρον ᾖ τῶν κατὰ μέρος χρησίμων μεθ'

ἱστορίας ψυχὴν κοσμεῖν, καὶ διεγείρειν εἰς ὀξύνοιαν φυσικὴν δυναμένων.

§. 2. Τῆς γῆς τὸ κατὰ τὴν ἡμετέραν οἰκουμένην μέρος περιορίζεται ἀπὸ μὲν ἀνατολῶν ἀγνώστῳ γῇ τῇ παρακειμένῃ τοῖς ἀνατολικοῖς ἔθνεσι τῆς Μεγάλης Ἀσίας Σίναις τε καὶ τοῖς ἐν τῇ Σηρικῇ, ἀπὸ δὲ μεσημβρίας ὁμοίως ἀγνώστῳ γῇ τῇ περικλειούσῃ τὸ Ἰνδικὸν πέλαγος καὶ τῇ περιεχούσῃ τὴν ἀπὸ μεσημβρίας τῆς Λιβύης Αἰθιοπίαν Ἀγίσυμβα χώραν καλουμένην, ἀπὸ δὲ δυσμῶν τῇ τε ἀγνώστῃ γῇ τῇ περιλαμβανούσῃ τὸν Αἰθιοπικὸν κόλπον τῆς Λιβύης, καὶ τῷ ἐφεξῆς δυτικῷ Ὠκεανῷ, παρακειμένῳ τοῖς τῆς Λιβύης καὶ τῆς Εὐρώπης δυσμικωτάτοις μέρεσιν, ἀπ᾽ ἄρκτων δὲ τῷ συνημμένῳ ὠκεανῷ, τῷ περιέχοντι τὰς Βρετανικὰς νήσους καὶ τὰ βορειότατα τῆς Εὐρώπης, καλουμένῳ δὲ Δουηκαλυδονίῳ τε καὶ Σαρματικῷ καὶ τῇ ἀγνώστῳ γῇ παρακειμένῃ ταῖς ἀρκτικωτάταις χώραις τῆς Μεγάλης Ἀσίας, Σαρματίᾳ καὶ Σκυθίᾳ, καὶ Σηρικῇ.

§. 3. (*) Τῶν δὲ περιλαμβανομένων ὑπὸ τῆς οἰκουμένης θαλασσῶν •

ἡ μὲν καθ᾽ ἡμᾶς μετὰ τῶν συνημμένων αὐτῇ κόλπων, παρά τε τὸν Ἀδρίαν κόλπον, καὶ τὸ Αἰγαῖον πέλαγος, καὶ τὴν Προποντίδα καὶ τὸν Πόντον, καὶ τὴν Μαιῶτιν λίμνην, ἀνεστόμωται πρὸς τὸν Ὠκεανὸν διὰ μόνου τοῦ Ἡρακλείου πορθμοῦ, Χερσονήσου δίκην ἰσθμὸν ὥσπερεὶ ποιοῦσα τοῦ πελάγους τὸν πορθμόν.

§. 4. Ἡ δὲ Ὑρκανία ἡ καὶ Κασπία θάλασσα πάντοθεν ὑπὸ τῆς γῆς περικέκλεισται νήσῳ κατὰ τὸ

ἀντικείμενον παραπλησίως· ὁμοίως δὲ καὶ ἡ περὶ τὸ Ἰνδικὸν πέλαγος πᾶσα μετὰ τῶν συνημμένων αὐτῇ κόλπων παρά τε τὸν Ἀράβιον κόλπον καὶ τὸν Περσικὸν, καὶ τὸν Γαγγητικὸν, καὶ τὸν ἰδίως καλούμενον Μέγαν κόλπον, περιεχομένη καὶ αὐτὴ πάντοθεν ὑπὸ τῆς γῆς.

§. 5. Διὸ καὶ τῶν τριῶν ἠπείρων ἡ μὲν Ἀσία συνάπτει τῇ τε Λιβύῃ, καὶ διὰ τοῦ κατὰ τὴν Ἀραβίαν αὐχένος, ὃς καὶ χωρίζει τὴν καθ᾽ ἡμᾶς θάλασσαν ἀπὸ τοῦ Ἀραβικοῦ κόλπου, καὶ διὰ τῆς περιεχούσης τὸ Ἰνδικὸν πέλαγος ἀγνώστου γῆς.

§. 6. Καὶ τῇ Εὐρώπῃ δὲ συνάπτει διὰ τοῦ μεταξὺ αὐχένος τῆς τε Μαιώτιδος λίμνης καὶ τοῦ Σαρματικοῦ Ὠκεανοῦ ἐπὶ τῆς διαβάσεως τοῦ Ταναΐδος ποταμοῦ.

§. 7. Ἡ δὲ Λιβύη τῆς Εὐρώπης ἀπείργεται μόνῳ τῷ πορθμῷ, καθ᾽ ἑαυτὴν μὲν μὴ συνάπτουσα μηδαμῶς, διὰ δὲ τῆς Ἀσίας πάντως, ἐπειδὴ καὶ αὐτὴ τούτων ἑκατέρᾳ συνάπτει, ἀντιπαρήκουσα κατὰ ἀνατολὰς ἀμφοτέραις.

§. 8. Καὶ ἔτι πρώτη μὲν τῶν ἠπείρων μεγέθους ἕνεκέν ἐστιν Ἀσία, δευτέρα δὲ Λιβύη, τρίτη δὲ Εὐρώπη.

§. 9. Ὁμοίως δὲ καὶ τῶν εἰρημένων ἐμπεριέχεσθαι τῇ γῇ θαλασσῶν, πρώτη μέν ἐστι μεγέθει πάλιν ἡ κατὰ τὸ Ἰνδικὸν πέλαγος, δευτέρα δὲ ἡ καθ᾽ ἡμᾶς, τρίτη δὲ ἡ Ὑρκανία ἡ καὶ Κασπία.

§. 10. Ἔτι δὲ καὶ τῶν μὲν ἀξιολογωτέρων

κόλπων

πρῶτος μὲν καὶ μείζων ὁμοίως ὁ Γαγγητικὸς, δεύτερος δὲ ὁ Περσικὸς, τρίτος δὲ ὁ Μέγας, τέταρτος δὲ ὁ

Ἀραβικὸς, πέμπτος δὲ ὁ Αἰθιοπικὸς, ἕκτος δὲ ὁ τοῦ Πόντου, ἕβδομος δὲ ὁ τοῦ Αἰγαίου πελάγους, ὄγδοος δὲ ὁ τῆς Μαιώτιδος λίμνης, ἔννατος δὲ ὁ Ἀδρίας, δέκατος δὲ ὁ τῆς Προποντίδος.

§. 11. Τῶν δὲ ἀξιολογωτέρων νήσων ἢ χερσονήσων πρώτη μὲν Ταπροβάνη, δευτέρα δὲ τῶν Βρετανικῶν ἡ Ἀλουΐωνος, τρίτη δὲ ἡ Χρυσῆ Χερσόνησος, τετάρτη δὲ τῶν Βρετανικῶν ἡ Ἰουερνία, πέμπτη δὲ ἡ Πελοπόννησος, ἕκτη δὲ ἡ Σικελία, ἑβδόμη δὲ ἡ Σαρδώ, ὀγδόη δὲ ἡ Κύρνος, ἐννάτη δὲ ἡ Κρήτη, δεκάτη δὲ ἡ Κύπρος.

§. 12. Ὁρίζει δὲ τὸ μεσημβρινὸν τῆς ἐγνωσμένης γῆς πέρας παράλληλος ὁ νοτιώτερος τοῦ ἰσημερινοῦ τοῦ μοίρας ιϛ̄ γιβʹ, οἵων ἐστὶν ὁ μέγιστος κύκλος τξ̄· ὅσαις μοίραις καὶ ὁ διὰ Μερόης τοῦ ἰσημερινοῦ τυγχάνει βορειότερος· τὸ δὲ ἀρκτικὸν πέρας ὁρίζει παράλληλος ὁ βορειότερος τοῦ ἰσημερινοῦ μοίραις ξγ̄, γραφόμενος δὲ διὰ Θούλης τῆς νήσου· ὡς γίγνεσθαι τὸ ἐγνωσμένον αὐτῆς πλάτος μοιρῶν μὲν οθ γιβʹ, ἢ καὶ ὅλων π̄, σταδίων δὲ τετρακισμυρίων ἔγγιστα· ὡς τῆς μὲν μιᾶς μοίρας πεντακοσίους περιεχούσης σταδίους, ὅπερ ἐκ τῶν ἀκριβεστέρων ἀναμετρήσεων κατελήφθη, τῆς δὲ ὅλης γῆς περίμετρον μυριάδων ιη.

§. 13. Πάλιν δὲ καὶ τὸ μὲν ἀνατολικὸν πέρας τῆς ἐγνωσμένης γῆς ὁρίζει μεσημβρινὸς ὁ γραφόμενος διὰ τῆς τῶν Σινῶν μητροπόλεως, ἀπέχων τοῦ διὰ Ἀλεξανδρείας γραφομένου πρὸς ἀνατολὰς ἐπὶ τοῦ ἰσημερινοῦ μοίρας ριθ L, ὀκτὼ δὲ ὥρας ἔγγιστα ἰσημερινάς·

§. 14. τὸ δὲ δυτικὸν πέρας ὁ γραφόμενος διὰ τῶν

Μακάρων νήσων, ἀπέχων καὶ οὗτος τοῦ μὲν διὰ Ἀλεξανδρείας μοίρας ξ ∠ τέσσαράς τε ὥρας ἰσημερινάς, τοῦ δ᾽ ἀνατολικωτάτου τὰς τοῦ ἡμικυκλίου μοίρας ͵ρπ καὶ ιβ ὥρας ἰσημερινάς·

§. 15. ὥστε συνάγεσθαι τὸ ἐγνωσμένον αὐτῆς μῆκος σταδίων, ἐπὶ μὲν τοῦ κατὰ τὸν ἰσημερινὸν τμήματος ἐνακισμυρίων, ἐπὶ δὲ τοῦ κατὰ τὸν νοτιώτατον αὐτῆς παράλληλον μυριάδων ὀκτὼ ͵ϛτλ γ' ἔγγιστα, ἐπὶ δὲ τοῦ κατὰ (*) τὸν βορειότατον, μυριάδων τεσσάρων· καὶ πάλιν ἐπὶ μὲν τοῦ διὰ τῆς Ῥόδου, ἐφ᾽ οὗ μάλιστα γεγόνασιν αἱ ἀναμετρήσεις, ἀπέχοντος τοῦ ἰσημερινοῦ μοίρας λϛ, σταδίων μυριάδων ἑπτὰ ͵β ἔγγιστα· ἐπὶ δὲ τοῦ διὰ Συήνης, ὃς ἀπέχει τοῦ ἰσημερινοῦ μοίρας κγ ∠γ, μέσος πως κείμενος τοῦ ὅλου πλάτους, μυριάδων ὀκτὼ ͵βτλϛ, κατὰ τὴν τῶν εἰρημένων παραλλήλων πρὸς τὸν ἰσημερινὸν ἀναλογίαν, ὡς γίνεσθαι τοῦ πλάτους τῆς οἰκουμένης μεῖζον τὸ μῆκος, ἐν μὲν τοῖς ἀρκτικωτάτοις κλίμασι τῷ πεντηκοστῷ ἔγγιστα τοῦ πλάτους, ἐν δὲ τοῖς διὰ τῆς Ἰνδου τῷ ἡμίσει πως καὶ τρίτῳ, ἐν δὲ τοῖς ὑπὸ τὸν διὰ Συήνης τῷ ἴσῳ καὶ ἔτι τῷ ὀκτωκαιδεκάτῳ ἔγγιστα· ἐν δὲ τοῖς μεσημβρινωτάτοις μέρεσι τῷ ἴσῳ καὶ ἔτι τῷ ἕκτῳ ἔγγιστα· ἐν δὲ τοῖς ὑπὸ τὸν ἰσημερινὸν τῷ ἴσῳ καὶ ἔτι τῷ τετάρτῳ·

§. 16. τὸ δὲ μέγεθος τῆς μεγίστης ἡμέρας ἢ νυκτός, ἐν μὲν τῷ νοτιωτάτῳ τῶν εἰρημένων παραλλήλων ὡρῶν ἰσημερινῶν ιγ, ὡσαύτως καὶ ἐν τῷ διὰ Μερόης, ἐν δὲ τῷ ἰσημερινῷ ρμ ιβ, ἐν δὲ τῷ διὰ Συήνης ιγ ∠, ἐν δὲ τῷ διὰ τῆς Ῥοδίας δεκατεσσάρων ∠, ἐν δὲ τῷ βορειτοτάτῳ καὶ διὰ Θούλης κ, καὶ ἔτι τὴν τοῦ ὅλου πλάτους διαφορὰν ἐννέα ποιεῖν ὥρας ἰσημερινάς.

Κεφ. ϛʹ.

Κρικωτῆς* σφαίρας μετὰ τῆς οἰκουμένης καταγραφή.

§. 1. Ἡ μὲν οὖν ὑπογραφὴ τῆς καθόλου διαθέσεως μέχρι τῶν τοσούτων ἂν ἔχοι συμμέτρως· οὐκ ἄτοπον δὲ προσθεῖναι, πῶς ἂν τὸ φαινόμενον ἡμισφαίριον, ἐν ᾧ ἡ οἰκουμένη, καταγράφοιτο ἐν ἐπιπέδῳ, περιεχόμενον ὑπὸ σφαίρας κρικωτῆς. Ἐπειδὴ πλείους μὲν ἐπικεχειρήκασι τῇ τοιαύτῃ δείξει, παραλογώτατα δὲ φαίνονται ταύτῃ κεχρημένοι.

§. 2. Προκείσθω δὴ κρικωτὴν σφαῖραν ἐν ἐπιπέδῳ καταγράψαι μέρος ἐμπεριλαμβανομένην τῆς γῆς, ὡς τῆς ὄψεως θέσιν ἐχούσης, καθ' ἣν ἡ ἐπ' εὐθείας ἔσται ταῖς κοιναῖς τομαῖς τοῦ τε διὰ τῶν τροπικῶν σημείων μεσημβρινοῦ, ὑφ' οὗ ὑποκείσεται καὶ ὁ τὸ μῆκος τῆς καθ' ἡμᾶς οἰκουμένης διχοτομῶν καὶ τοῦ διὰ Συήνης ἐν τῇ γῇ γραφομένου παραλλήλου, δίχα καὶ αὐτοῦ τέμνοντος τῆς γῆς τὸ πλάτος τῆς οἰκουμένης.

---


* Scholion ad Tit. cap. 6. Σημείωσαι· Κρικωτὴ σφαῖρα ἔοικεν εἶναι ἡ διὰ κρίκων καὶ μὴ στερεὰ (γινομένη 119.) γενομένη, ἥτις ἂν καὶ κοίλη λέγηται (γρ. λέγηται Ms. 119. marg. text. λέγεται).

§. 3. *Οὕτω δὲ ἐχέτωσαν οἱ λόγοι τῶν τε μεγεθῶν τῆς κρικωτῆς σφαίρας καὶ τῆς γῆς καὶ τοῦ τῆς ὄψεως ἀποστήματος, ὥστε ἐν τῷ μεταξὺ διαστήματι τοῦ τε κατὰ τὸν ἰσημερινὸν κρίκου καὶ τοῦ κατὰ τὸν θερινὸν τροπικὸν, ὅλον ἐμφαίνεσθαι τὸ ἐγνωσμένον μέρος τῆς γῆς, τοῦ νοτιωτέρου τῶν ἡμικυκλίων τοῦ διὰ μέσου τῶν ζωδίων κύκλου καθεστηκότος ὑπὲρ τὴν γῆν, ἵνα μηδ᾽ ὑπὸ τούτου τις ἐπιπρόσθεσις γένηται τῆς οἰκουμένης πρὸς τῷ βορείῳ τιθεμένης ἡμισφαιρίῳ.*

§. 4. *Ὅτι μὲν οὖν, τούτων ὑποκειμένων, οἱ μὲν εἰρημένοι μεσημβρινοὶ μιᾶς εὐθείας τῆς κατ᾽ αὐτὸν τὸν ἄξονα ποιήσονται φαντασίαν, ἅτε τῆς ὄψεως ἐν τῷ δι᾽ αὐτῶν ἐπιπέδῳ πιπτούσης καὶ ἔτι ὁ διὰ Συήνης παράλληλος ὀρθὸς πρὸς ἐκείνην διὰ τὴν ὁμοίαν αἰτίαν, οἱ δὲ λοιποὶ τῶν ἐντασσομένων κύκλων ἐπεστραμμένοι κατὰ τὰ κοῖλα φανήσονται πρὸς τὰς εὐθείας, οἱ μὲν μεσημβρινοὶ πρὸς τὴν διὰ τῶν πόλων, οἱ δὲ παράλληλοι πρὸς τὴν διὰ τῆς Συήνης, καὶ μᾶλλον οἱ πλεῖον αὐτῶν ἐφ᾽ ἑκάτερα διεστηκότες, αὐτόθεν ἐστὶ δῆλον.*

§. 5. *Πῶς δ᾽ ἂν μεθοδεύοι μὲν τὴν καταγραφὴν ὁμοίαν ὡς ἔνι μάλιστα ταῖς ὀπτικαῖς διατυπώσεσι, πρόχειρον ἡμῖν ἔσται τόνδε τὸν τρόπον·*

Adnot. Desunt in figura adiuncta siglae quae §§. 7. 8. et 9. memorantur: σ υ φ χ ψ ω, quas suis locis de coniectura quamquam partim certa assignare non placuit.



§. 6. (*) Ἔστω ὁ διὰ τῶν ἰσημερινῶν σημείων ἐν τῇ κρικωτῇ σφαίρᾳ μεσημβρινὸς ὁ α β γ δ περὶ κέντρον τὸ ε καὶ διάμετρον τὴν α ε γ, τοῦ μὲν α κατὰ τὸν βόρειον πόλον νοουμένου, τοῦ δὲ γ κατὰ τὸν νότιον. Ἀπειλήφθωσάν τε αἱ μὲν β ζ καὶ δ η καὶ β θ καὶ δ κ περιφέρειαι ἐν ταῖς τῶν τροπικῶν ἀπὸ τοῦ ἰσημερινοῦ διαστάσεσιν, αἱ δὲ α λ καὶ α μ καὶ γ ν καὶ γ ξ, ἐν ταῖς ἀπὸ τῶν πόλων τοῦ ἀρκτικοῦ καὶ ἀνταρκτικοῦ, καὶ τεμνέτω ἡ τοῦ θερινοῦ διάμετρος τὴν α ε κατὰ τὸ ο.

§. 7. Ἐπεὶ τοίνυν τὸν διὰ Συήνης παράλληλον ἐν τῇ μεταξὺ τῆς ε ο ἔδει τὴν θέσιν ἔχειν, λόγος δὲ τῆς μὲν ἀπὸ τοῦ διὰ Συήνης ἐπὶ τὸν ἰσημερινὸν περιφερείας πρὸς τὸ τεταρτημόριον τῶν τεσσάρων ἔγγιστα πρὸς


τὰ ιε, τῆς δὲ ἡμισείας τῆς ε ο πρὸς τὴν ε α ὁ τῶν αὐτῶν τεσσάρων ἔγγιστα πρὸς τὰ τρία, ἐπίτριτος ἔσται ἡ ε α τῆς ἐκ τοῦ κέντρου τῆς γῆς. Ἀπειλήφθω δ' ἡ ε π τοιούτων τριῶν, οἵων ἐστὶ τεσσάρων ἡ ε α· καὶ κέντρῳ τῷ ε, διαστήματι δὲ τῷ ε π, γεγράφθω ὁ ἐν τῷ αὐτῷ ἐπιπέδῳ περιλαμβάνων τὴν γῆν κύκλος ὁ π ρ. Καὶ διαιρεθείσης τινὸς εὐθείας ἴσης τῇ ε π εἰς τὰ ἐνενήκοντα ἴσα τμήματα τοῦ ἑνὸς τεταρτημορίου, ἀπειλήφθω ἡ μὲν ε ο τμημάτων ξγ, ἡ δὲ ε γ τμημάτων ις γιβ', ἡ δὲ ε υ τῶν αὐτῶν ξγ· καὶ διήχθω ἡ φ σ χ πρὸς τὴν ε π, ὀρθὴ πίπτουσα δηλονότι κατὰ τὸν διὰ Συήνης παράλληλον.

§. 8. Ἔσται ἄρα τὸ μὲν τ, δι' οὗ γραφήσεται ὁ ἀφορίζων τὸ νότιον πέρας τῆς οἰκουμένης παράλληλος καὶ ἀντικείμενος τῷ διὰ Μερόης· τὸ δὲ υ, δι' οὗ γραφήσεται ὁ ἀφορίζων τὸ βόρειον πέρας παράλληλος καὶ γραφόμενος διὰ Θούλης.

§. 9. Εἰλήφθω τι σημεῖον βραχεῖ νοτιώτερον τοῦ τ, ὡς τὸ ψ, καὶ ἐπεζεύχθω ἡ ψ δ, καὶ ἐκβληθεῖσαι αἱ σ χ, καὶ ψ δ, συμπιπτέτωσαν κατὰ τὸ ω. Ἐὰν τοίνυν τούς τε ἐκκειμένους κύκλους νοῶμεν ἐν τῷ διὰ τῶν τροπικῶν σημείων καὶ τῶν πόλων ἐπιπέδῳ κατὰ τὴν ὄψιν ἐπὶ τοῦ ω διὰ τὰ ὑποκείμενα, αἱ μὲν ἀπὸ τοῦ ω διὰ τοῦ μ καὶ η καὶ δ καὶ κ καὶ ξ ἐκβαλλόμεναι ἐπὶ τὴν α γ ποιήσουσιν ἐπ' αὐτῆς τὰς τομάς, δι' ὧν γραφήσεται τὰ πρὸς τῇ ὄψει τμήματα τῶν πέντε παραλλήλων, ὡς τὴν ψ, δι' ἧς γραφήσεται τὸ τοῦ περὶ τὸ δ ἰσημερινοῦ· αἱ δὲ ἀπὸ τοῦ ω ἐπὶ τὸ λ καὶ ζ καὶ β καὶ θ καὶ η ἐπιζευγνύμεναι, ποιήσουσι τὰς πρὸς τὴν α γ τομάς, δι' ὧν γραφήσεται τὰ πέντε τῆς γῆς τμήματα τῶν αὐτῶν παραλλήλων.

§. 10. Ὁμοίως δὲ καὶ τῶν ἐν τῇ γῇ γραφησομένων παραλλήλων λαμβάνοντες ἐπὶ τῆς π ρ τὰς οἰκείας τοῦ ἰσημερινοῦ ἀποχὰς, ὡς τὰς υ καὶ τ, τάς τε γινομένας τομὰς ὑπὸ τῶν ἐπ' αὐτὰς ἐπιζευγνυμένων εὐθειῶν ἀπὸ τοῦ ω τοῦ π χ ρ ἡμικυκλίου, καὶ τὰς ἀντικειμένας αὐταῖς κατὰ παραλλήλους θέσεις, ἕξομεν, δι' ὧν γραφήσεται τὰ εἰρημένων παραλλήλων τμήματα, ὡς τό τε α τ μ καὶ γ λ δ.

§. 11. Ἀφ' ὧν ἀπολαμβάνοντες τὰς τῶν ἐνταχθησομένων ἐφ' ἑκάτερα τῆς τ υ μεσημβρινῶν ἀποχὰς, καὶ ἐπὶ τῆς φ χ εὐθείας ἐν τοῖς οἰκείοις τῶν τριῶν παραλλήλων λόγοις γράψομεν διὰ τῶν ὁμολόγων τριῶν σημείων τμήματα τῶν ὑποκειμένων μεσημβρινῶν, ὡς τῶν ἀφοριζόντων τὸ μῆκος τό τε ς ζ η καὶ θ καὶ ε.


β
φ
π
υ
ς
ε
τ
ψ
ϱ
α
γ
χ
δ
ω
Ὄψις

§. 12. (*) Τὸ μὲν οὖν πλῆθος τῶν ἐγγραφησομένων τῇ γῇ πρὸς τὸ μέγεθος τῆς καταγραφῆς ἁρμοστέον·


§. 13. ἐπὶ δὲ τῆς τῶν κρίκων παραβολῆς ἐκεῖνα παρατηρητέον, ὅπως ἔρχηται μὲν ἕκαστος διὰ τῶν εἰρημένων τεσσάρων σημείων, σχήματι δὲ ὠοειδεῖ καὶ μὴ εἰς ὀξὺ λήγοντι ἐν τῇ πρὸς τὸν ἐξωτάτω κύκλον τομῇ, ἵνα μὴ κατάματος παράσχῃ φαντασίαν, ἀλλὰ κἀνταῦθα τὴν σύμμετρον περίστασιν τῇ ἐφεξῆς ἀπολαμβάνῃ, κἂν ἐκτὸς τοῦ περιέχοντος τὸ σχῆμα κύκλου πίπτωσιν αἱ τὴν ἔλλειψιν ἀπαρτίζουσαι κυρτότητες· ὃ καὶ ἐπὶ τῶν ἀληθινῶν φαίνεται συμπίπτον.

§. 14. Προσεκτέον δὲ, ὅπως μὴ γραμμαὶ μόνον ὦσιν οἱ κύκλοι, μετὰ δέ τινος πλάτους συμμέτρου καὶ χρώματος διαφέροντος, καὶ ἔτι τὰ πέραν τῆς γῆς τμήματα σκιερώτερα περιέχῃ χρώματα τῶν πρὸς τῇ ὄψει, καὶ τῶν συμπιπτόντων τμημάτων τὰ ποῤῥωτέρω τῆς ὄψεως ὑπὸ τῶν ἐγγυτέρω διακόπτηται ταῖς τῶν ἀληθινῶν ἐπιπροσθέσεσιν ἀκολούθως ἐπί τε τῶν κρίκων καὶ ἐπὶ τῆς γῆς, καὶ ὁ ζωδιακὸς ἐπέρχηται μὲν τῇ γῇ κατὰ τὸ νοτιώτερον ἡμικύκλιον καὶ διὰ τοῦ χειμερινοῦ τροπικοῦ, διακόπτηται δ' ὑπ' αὐτῆς κατὰ τὸ βόρειον καὶ διὰ τοῦ θερινοῦ τροπικοῦ.

§. 15. Παραγράψομεν δὲ καὶ ἐπὶ τούτων ἐν τοῖς ἐπικαίροις τόποις τὰς οἰκείας ὀνομασίας, καὶ ἔτι ἐπὶ μὲν τῶν ἐν τῇ γῇ κύκλων, τοὺς ὑποδεδειγμένους ἐν τῇ καταγραφῇ τῆς οἰκουμένης ἀριθμοὺς ἀποχῶν τε καὶ ὡρῶν, περὶ δὲ τὸν ἔξω κύκλον τὰς τῶν ἀνέμων προσηγορίας ἀκολούθως ταῖς ἐπὶ τῆς κρικωτῆς σφαίρας παρὰ τοὺς ἐκκειμένους πέντε παραλλήλους καὶ τοὺς πόλους διασημασίαις.

* Σφαῖρα κρικωτή,

terrarum orbem ventorumque regiones complectens.



Κεφ. ζ'.

*Ὑπογραφὴ τοῦ ἐκπετάσματος.

§. 1. Ὑπογραφὴ δ' ἔσται καὶ τῆς τοιαύτης ἐκπετάσεως ἁρμόζουσά τε καὶ κεφαλαιώδης. Ἡ τοιαύτη τῆς κρικωτῆς σφαίρας ἐν ἐπιπέδῳ καταγραφὴ μετὰ τῆς ἐμπεριλαμβανομένης γῆς ὑπόκειται θέσιν ἔχουσα, καθ' ἣν ἡ ὄψις ἐπ' εὐθείας ἔσται ταῖς κοιναῖς τομαῖς τοῦ τε διὰ τῶν τροπικῶν σημείων μεσημβρινοῦ, ὑφ' ὃν κεῖται καὶ ὁ τὸ μῆκος τῆς καθ' ἡμᾶς οἰκουμένης διχοτομῶν, καὶ τοῦ διὰ Συήνης ἐν τῇ γῇ γραφομένου παραλλήλου, δίχα καὶ αὐτοῦ τέμνοντος ἔγγιστα τὸ πλάτος τῆς οἰκουμένης.

§. 2. Οὕτως δὲ ἔχουσιν οἱ λόγοι τῶν τε μεγεθῶν τῆς σφαίρας καὶ τῆς γῆς καὶ τοῦ τῆς ὄψεως ἀποστήματος, ὥστε ἐν τῷ μεταξὺ διαλείμματι τοῦ τε κατὰ τὸν ἰσημερινὸν καὶ τοῦ κατὰ τὸν θερινὸν τροπικὸν· ὅλον διαφαίνεσθαι τὸ ἐγνωσμένον μέρος τῆς γῆς, τοῦ νοτιωτέρου τῶν ἡμικυκλίων τοῦ διὰ μέσου τῶν ζωδίων κρίκου καθεστηκότος ὑπὲρ τὴν γῆν, ἵνα μηδ' ὑπὸ τούτου τις ἐπιπρόσθεσις γένηται τῆς οἰκουμένης (*) πρὸς τῷ βορειοτέρῳ τιθεμένης ἡμισφαιρίῳ, διόπερ οἱ μὲν εἰρημένοι μεσημβρινοὶ μιᾶς εὐθείας τῆς κατ' αὐτὸν τὸν ἄξονα ποιοῦνται φαντασίαν, ἅτε τῆς ὄψεως ἐν τῷ δι' αὐτῶν ἐπιπέδῳ πιπτούσης.

§. 3. Καὶ ἔτι ὁ διὰ Συήνης παράλληλος ὀρθὸς πρὸς ἐκκειμένην μένει διὰ τὴν ὁμοίαν αἰτίαν, οἱ δὲ λοιποὶ κύκλοι ἐπεστραμμένοι κατὰ τὸ κοῖλον φαίνονται

πρὸς τὰς εὐθείας, οἱ μὲν τῆς μεσημβρινῆς διὰ τῶν πόλων, οἱ δὲ παράλληλοι πρὸς τὴν διὰ τῆς Συήνης, καὶ μᾶλλον οἱ πλέον αὐτῶν ἐφ' ἑκάτερα διεστηκότες, ὡς ὁ μὲν ἀρκτικὸς μᾶλλον τοῦ θερινοῦ τροπικοῦ πρὸς τὰς ἄρκτους ἀνακεκλιμένος, ὁ δὲ χειμερινὸς τροπικὸς μᾶλλον τοῦ ἰσημερινοῦ πρὸς μεσημβρίαν, καὶ ἔτι ὁ ἀνταρκτικὸς τοῦ χειμερινοῦ τροπικοῦ.

§. 4. Διατέθειται δὲ καὶ τὸ ἐγνωσμένον τῆς γῆς μέρος, ὡς μὴ περιῤῥέοντος τοῦ Ὠκεανοῦ μηδαμόθεν, ἀλλὰ μόνοις παρακειμένου τοῖς πρὸς ἰάπυγα καὶ θρασκίαν γεγραμμένοις πέρασι τῆς τε Λιβύης καὶ τῆς Εὐρώπης ἀκολούθως ταῖς τῶν παλαιοτέρων ἱστορίαις.

(* p. 221. ed. Bert.)

(*) Κλαυδίου Πτολεμαίου

Γεωγραφικῆς Ὑφηγήσεως

Βιβλίον η'.

Τάδε ἔνεστιν ἐν τῷ ὀγδόῳ·

§. 1. *Μετὰ ποίας προθέσεως δεῖ ποιεῖσθαι τὴν κατὰ τοὺς πίνακας διαίρεσιν τῆς οἰκουμένης;*

§. 2. *Τίνα καθ' ἕκαστον τῶν πινάκων ὑπογράφειν ἁρμόζει;*

§. 3. *Ἔκθεσις πασῶν τῶν ὑπογραφῶν, αἷς περιέχονται*
Εὐρώπης πίνακες ῑ, χῶραι λ̄δ (ἢ λ̄ε) πόλεις ρ̄ιη,
Λιβύης πίνακες δ, χῶραι ῑβ, πόλεις μ̄β,
Ἀσίας Μεγάλης πίνακες ῑβ, χῶραι μ̄θ, πόλεις ϙ̄θ.

§. 4. *Γίνονται ἐπὶ τὸ αὐτὸ τῆς οἰκουμένης πίνακες κ̄ς, χῶραι πζ, πόλεις τ̄ν*.*

---

* Ad hoc summarium addenda haec sunt: Cap. XXIX. (* Ἔκθεσις χωρῶν τῆς οἰκουμένης.) et Cap. XXX. Ἔκθεσις μήκους καὶ πλάτους ἑκάστου πίνακος.

Κεφ. α'.

Μετὰ ποίας προθέσεως δεῖ ποιεῖσθαι τὴν κατὰ τοὺς πίνακας διαίρεσιν τῆς οἰκουμένης;

§. 1. Ὅσα μὲν οὖν ἐχρῆν εἰς τὴν γεωγραφικὴν ὑφήγησιν συνεισενεγκεῖν ἔκ τε τῆς συνεχεστέρας διακριβώσεως τῶν τὰς ἐκτετοπισμένας ἡμῖν χώρας περιελθόντων καὶ τῆς εἰς τὸ προχειρότερον ἅμα καὶ οἰκειότερον τῶν καταγραφῶν ἐπιβολῆς, αὐτάρκως ἔχειν ἡγοῦμαι. Τὸ γὰρ ἐπιλέγειν κατὰ τὸν αὐτὸν τρόπον τοῖς πρὸ ἡμῶν ὥσπερ ἐπὶ κεφαλαίου, διὰ τίνων τόπων ἕκαστος γράφεται τῶν ἐντασσομένων τῇ καταγραφῇ παραλλήλων καὶ μεσημβρινῶν, — μὴ καὶ γελοῖον ᾖ, πάντων ἁπλῶς τῶν τόπων καὶ τῶν μὴ πιπτόντων εἰς τοὺς ἐκτεθειμένους κύκλους παρακειμένας ἐχόντων τὰς ἐποχὰς τῶν δι' αὐτῶν γραφομένων παραλλήλων τε καὶ μεσημβρινῶν.

§. 2. Ἐπειδὴ, τίς ἂν γένοιτο τῆς οἰκουμένης ὑπογραφὴ σύμμετρος, ὅλης καθ' ἕνα πίνακα λαμβανομένης, ὑπ' ὄψιν ἡμῖν γέγονεν· ἀκόλουθόν ἐστι προεκθέσθαι τὰς ἐσομένας ὑπογραφὰς κεφαλαιώδεις, εἰ διαιροῦμεν αὐτὴν εἰς πλείους πίνακας, ἕνεκεν τοῦ δύνασθαι πάντα τὰ ἐφοδευόμενα καὶ μετὰ τῆς πρὸς τὸ εὐδηλότερον συμμετρίας κατατάσσειν. Ἐπὶ μὲν γὰρ τῆς ὑφὲν καταγραφῆς ἀναγκαῖον γίνεται, διὰ τὸ δεῖν συντηρεῖν τοὺς πρὸς ἄλληλα τῶν μερῶν τῆς οἰκουμένης λόγους, τὰ μὲν στενοχωρεῖσθαι διὰ τὸ συνεχὲς

τῶν ἐντασσομένων, τὰ δὲ παρέλκειν ἀπορίᾳ τῶν ἐγγραφησομένων. Ὅπερ οἱ πλεῖστοι περιϊστάμενοι πολλαχῇ διαστρέφειν ἠναγκάσθησαν τά τε μέτρα καὶ τὰ σχήματα τῶν χωρῶν ὑπὸ τῶν πινάκων αὐτῶν, ὥσπερ καὶ μὴ ὑπὸ τῆς ἱστορίας χειραγωγηθέντες· καθάπερ ὅσοι τὸ μὲν πλεῖστον μέρος τοῦ (*) πίνακος ἀπένειμαν τῇ Εὐρώπῃ κατὰ τὸ μῆκος καὶ κατὰ τὸ πλάτος, διὰ τὸ πολύχουν καὶ πυκνὸν τῶν ἐντασσομένων, τὸ δὲ ἐλάχιστον τῇ μὲν Ἀσίᾳ κατὰ τὸ μῆκος, τῇ δὲ Λιβύῃ κατὰ τὸ πλάτος διὰ τὸ ἐναντίον. §. 3. Παρὰ γὰρ ταύτην τὴν αἰτίαν τὸ μὲν Ἰνδικὸν πέλαγος μετὰ τὴν Ταπροβάνην ἐπὶ τὰς ἄρκτους ἀπέστρεψαν, ἐνστάντος αὐτοῖς τοῦ πίνακος πρὸς τὴν ἐπὶ τὰς ἀνατολὰς προχώρησιν, ἐπεὶ μηδὲν εἶχε τοιοῦτον ἐπὶ τῆς ὑπερκειμένης κατὰ τὸ βόρειον Σκυθίας ἀντιπαραγράφειν.

§. 4. Τὸν δὲ δυτικὸν Ὠκεανὸν ἐπὶ τὰς ἀνατολὰς ἀπέστρεψαν πάλιν, ἐνστάντος αὐτοῖς τοῦ πίνακος ἐπὶ τὴν μεσημβρινὴν διάστασιν, ἐπεὶ μηδ' ἐνταῦθα τὸ τῆς ἐντὸς Λιβύης βάθος ἢ τὸ τῆς Ἰνδικῆς εἶχέ τι δυνάμενον κατὰ τὸ συνεχὲς ἀντιπαρασταθῆναι τῇ δυτικῇ παραλίᾳ· ὡς καὶ διὰ τὰ τοιαῦτα τὴν περὶ τοῦ περιῤῥεῖσθαι τὴν γῆν ὅλην τῷ Ὠκεανῷ δόξαν ἄρξασθαι μὲν ἀπὸ γραφικῶν ἁμαρτημάτων, καταστρέψαι δὲ εἰς ἀσύστατον ἱστορίαν. Ἐπὶ μὲν τοιαύτης κατὰ πίνακας διαιρέσεως ἐκφύγοιμεν ἂν τὸ εἰρημένον σύμπτωμα, εἰ ποιοίμεθα τὰς διαιρέσεις οὕτως· ὥστε τὰς μὲν πολυχουστέρας τῶν χωρῶν, ἢ μόνας, ἢ μετ' ὀλίγων ἀπολαμβάνειν τὸν πίνακα κατὰ μείζους τῶν κύκλων διαστάσεις, τὰς δὲ ἀπύκνους καὶ μὴ διειλημμένας ὅλας μετὰ πλειόνων ὁμοίων ὑφ' ἑνὸς περιέχεσθαι πίνακος

ἐν ἐλάττοσι τῶν κύκλων διαστάσεσιν. §. 5. Οὐδὲν γὰρ ἔτι δεῖ καὶ πάντας τοὺς πίνακας ἀλλήλοις εἶναι συμμέτρους, ἀλλὰ μόνα τὰ ἐν ἑκάστῳ διασώζειν τὸν πρὸς ἄλληλα λόγον, ὥςπερ ὅταν μόνην κεφαλὴν ὑπογράφωμεν, τὰ μόνης τῆς κεφαλῆς, ἢ ὅταν μόνην χεῖρα, τὰ μόνης τῆς χειρὸς, οὐκ ἔτι δὲ καὶ τὰ τῆς κεφαλῆς τοῖς τῆς χειρὸς εἰς ἓν, εἰ μὴ ὅταν ὑφ᾽ ἓν σχῆμα ποιῶμεν ὅλον τὸν ἄνθρωπον. Ἀλλ᾽ ὄνπερ τρόπον τὸ πᾶν οὐδὲν κωλύει ποτὲ μὲν αὔξειν, ποτὲ δὲ μειοῦν, οὕτως οὐδὲ τῶν μερῶν, ὅταν ᾖ καθ᾽ αὑτὰ, τὰ μὲν αὔξειν, τὰ δὲ μειοῦν πρὸς τὰς τῶν ὑποτιθεμένων πινάκων εὐρυχωρίας.

§. 6. Οὐ παρὰ πολὺ δὲ ἔσται τῆς ἀληθείας, καθάπερ ἐν ἀρχῇ τῆς συντάξεως εἴπομεν, κἂν εὐθείας γραμμὰς ἀντὶ τῶν κύκλων, ἐπὶ γοῦν τῶν κατὰ μέρος πινάκων παραγράφωμεν καὶ προσέτι τὰς μεσημβρινὰς μὴ συννευούσας, ἀλλὰ καὶ αὐτὰς παραλλήλους ἀλλήλαις. Ἐπὶ μὲν γὰρ τῆς ὅλης οἰκουμένης οἱ τοῦ πλάτους καὶ τοῦ μήκους ὅροι, κατὰ μεγάλας λαμβανόμενοι διαστάσεις, ἀξιολόγους ποιοῦσι τὰς τῶν ἄκρων κύκλων παραλλαγάς, ἐπὶ δὲ ἑκάστου τῶν πινάκων οὐκ ἔτι. §. 7. Διὸ καὶ κατὰ τὸν λόγον τοῦ δίχα τέμνοντος τὸν πίνακα παραλλήλου πρὸς τὸν μέγιστον κύκλον ἐλέγομεν δεῖν ποιεῖσθαι τὰς μοιριαίας παραβολὰς, ἵνα μηδὲ τὸ παρ᾽ ὅλην τὴν διάστασιν τοῦ πίνακος ἐνδέον ἐπιζητῶμεν, ἀλλὰ μόνον τὴν ἀπὸ τοῦ μεταξὺ πρὸς τὸ ἕτερον πέρας τῶν πινάκων.

Κεφ. β΄.

Τίνα καθ' ἕκαστον τῶν πινάκων ὑπογράφειν ἁρμόζει;

§. 1. Τῆς τοιαύτης τοίνυν προθέσεως ἐπερχόμενοι τὰς διαιρέσεις, [τοὺς] τῆς Εὐρώπης ἐποιησάμεθα πίνακας δέκα, τῆς Λιβύης πίνακας τέσσαρας, τῆς δὲ ὅλης Ἀσίας πίνακας δώδεκα. Τὰς δὲ καθ' ἕκαστον ὑπογραφὰς ἐξεθέμεθα, προτάσσοντες μὲν, τίνος τέ ἐστιν ὁ πίναξ ἠπείρου, καὶ πόσος, καὶ ποίας περιέχει χώρας, καὶ τίνα λόγον (*) ἔχει ὁ διὰ μέσου αὐτοῦ παράλληλος ἔγγιστα πρὸς τὸν μεσημβρινὸν, καὶ τίς ὅλου τοῦ πίνακος γίνεται περιορισμός· ὑποτάσσοντες δὲ τῶν καθ' ἑκάστην χώραν διασήμων πόλεων τὰ μὲν ἐξάρματα μετειλημμένα εἰς τὰ μεγέθη τῶν ἐν αὐτοῖς μεγίστων ἡμερῶν, τὰς δὲ κατὰ μῆκος ἐποχὰς εἰς τὰς ἀπὸ τοῦ δι' Ἀλεξανδρείας μεσημβρινοῦ διαστάσεις, ἤτοι πρὸς ἀνατολὰς ἢ πρὸς δυσμὰς μεγέθεσι τῶν ἔγγιστα ὡρῶν ἰσημερινῶν, καὶ ὧν ὁ ζωδιακὸς ὑπέρκειται, πότερον ἅπαξ ἢ δὶς ὁ ἥλιος γίνεται κατὰ κορυφὴν, καὶ πῶς διακείμενος πρὸς τὰς τροπάς. §. 2. Προςεθήκαμεν δ' ἂν, καὶ τίνας τῶν ἀπλανῶν ἔχουσιν ἐπὶ τῶν κατὰ κορυφὴν τόπων, εἰ συντηροῦντες ἐφαίνοντο τὰ πρὸς τὸν ἰσημερινὸν πλάτη, τουτέστιν, εἰ διὰ τῶν αὐτῶν αἰεὶ παραλλήλων ἐφέροντο.

§. 3. Ἐπειδήπερ ἀπεδείξαμεν ἐν τῇ μαθηματικῇ συντάξει, ὅτι μεταπίπτει καὶ ἡ τῶν ἀπλανῶν σφαῖρα εἰς τὰ ἑπόμενα τοῦ κόσμου παρὰ τὰ τροπικὰ καὶ ἰση-

μερινὰ σημεῖα, καὶ οὐ περὶ τοὺς τοῦ ἰσημερινοῦ πόλους, ἀλλὰ περὶ τοὺς τοῦ διὰ μέσων τῶν ζωδίων κύκλου, καθάπερ καὶ αἱ τῶν πλανουμένων· ὡς διὰ τοῦτο μὴ δύνασθαι τοὺς αὐτοὺς ἀστέρας τῶν αὐτῶν τόπων αἰεὶ γίνεσθαι κατὰ κορυφὴν, ἀλλὰ μεταχωρεῖν ἐξ ἀνάγκης, τοὺς μὲν αὐτῶν ἐπὶ τοὺς βορειοτέρους τόπους τῶν προτέρων, τοὺς δὲ ἐπὶ τοὺς νοτιωτέρους παρέλκειν ἡμῖν ἔδοξεν ἡ τοιαύτη προσθήκη τῆς ὑπογραφῆς, ἐξὸν ἐπὶ τῆς κατὰ τὴν τοιαύτην ὑπόθεσιν ἀστεριζομένης ἡμῖν σφαίρας τὴν ἐν τοῖς ἐπιζητουμένοις χρόνοις θέσιν αὐτῆς πρὸς τὸν δι' ἀμφοτέρων τῶν πόλων κύκλον καθιστάντας καὶ περιφέροντας ὅλην παρὰ τὴν τοῦ μένοντος μεσημβρινοῦ διῃρημένην πλευρὰν σκοπεῖν τὸ σημεῖον αὐτοῦ, τὸ τοσαύτας ἀπέχοντος τοῦ ἰσημερινοῦ μοίρας, ὅσας καὶ ὁ διὰ τοῦ ζητουμένου τόπου ἐπὶ τὰ αὐτὰ παράλληλος καταλαμβάνει προχείρως, εἴτε μηδ' ὅλως τις ἐνεχθήσεται δι' ἐκείνου τοῦ σημείου τῶν ἀπλανῶν, εἴτε εἰσὶ πλείους, καὶ τίς, ἢ τίνες.

§. 4. Τούτων δὴ προδιωρισμένων, ἀρκτέον τῆς λοιπῆς προθέσεως ἐντεῦθεν.

Κεφ. γʹ.

Εὐρώπης Πίναξ αʹ.

§. 1. Ὁ πρῶτος πίναξ τῆς Εὐρώπης περιέχει τὰς Βρετανικὰς νήσους

σὺν ταῖς περὶ αὐτὰς νήσοις· ὁ δὲ διὰ μέσου αὐτοῦ παράλληλος λόγον ἔχει πρὸς τὸν μεσημβρινὸν, ὃν τὰ ιαʹ ἔγγιστα πρὸς τὰ κʹ.

§. 2. *Περιορίζεται δὲ ὁ πίναξ πάντοθεν Ὠκεανῷ, ἀπὸ μὲν ἀνατολῶν Γερμανικῷ, ἀπὸ δὲ μεσημβρίας Βρετανικῷ καὶ τῷ καλουμένῳ Οὐεργιουΐῳ, ἀπὸ δὲ δύσεως τῷ δυτικῷ, ἀπὸ δὲ ἄρκτων Ὑπερβορείῳ καὶ τῷ καλουμένῳ Δουηκαληδονίῳ.*

§. 3. *Ἡ μὲν οὖν Θούλη τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ἰσημερινῶν κ̄, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δυσμὰς ὥρας ἰσημερινὰς β̄.*

§. 4. *Τῆς δὲ Ἰουερνίας νήσου*

αἱ ἐπίσημοι πόλεις· ἡ μὲν ὁμώνυμος τῇ νήσῳ πόλις Ἰουερνὶς τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ἰσημερινῶν ιη̄, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δυσμὰς ὥραις τρισὶ καὶ τετάρτῳ.

§. 5. *Ἡ δὲ Ῥαίβα τὴν μεγάλην ἡμέραν ἔχει ὡρῶν ιη̄ ∠ιβ΄, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥραις τρισὶ καὶ πέμπτῳ.*

§. 6. *Τῆς δὲ Ἀλουΐωνος νήσου*

τὸ μὲν Λονδίνιον τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιη̄, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥραις δυσὶ καὶ γο΄.

§. 7. *Τὸ δὲ Ἐβόρακον ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ιζ̄ ∠γ, (*) καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥραις β̄ γ΄.*

§. 8. *Τὸ δὲ Κατουρακτόνιον ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ιη̄, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥραις β̄ γ΄.*

§. 9. *Τὸ δὲ Πτερωτὸν στρατόπεδον ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ιη̄ ∠, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥραις β̄ ς΄.*

§. 10. *Δοῦμνα δὲ ἡ νῆσος ἔχει τὴν μεγίστην ἡμέ-*

ραν ὡρῶν ιθ̄, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥραις β̄.

§. 11. Ἡ δὲ Οὐηκτὶς νῆσος ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ιϛ̄ γʹ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥραις δυσὶ τρίτῳ.

Κεφ. δʹ.

Εὐρώπης Πίναξ βʹ.

§. 1. Ὁ δεύτερος πίναξ τῆς Εὐρώπης περιέχει
τὴν Ἱσπανίαν πᾶσαν

ἐν ταῖς τρισὶν ἐπαρχίαις σὺν ταῖς παρακειμέναις νήσοις. Ὁ δὲ διὰ μέσου αὐτῆς παράλληλος λόγον ἔχει πρὸς τὸν μεσημβρινὸν, ὃν τὰ γ̄ πρὸς τὰ δ̄ ἔγγιστα.

§. 2. Περιορίζεται δὲ ὁ πίναξ ἀπὸ μὲν ἀνατολῶν τοῖς Πυρηναίοις ὄρεσιν, ἀπὸ δὲ μεσημβρίας τῷ τε Βαλλιαρικῷ καὶ τῷ Ἰβηρικῷ πελάγει καὶ τῷ Ἡρακλείῳ πορθμῷ μέχρι τῆς ἔξω θαλάσσης, ἀπὸ δὲ δύσεως τῷ δυτικῷ Ὠκεανῷ, ἀπὸ δὲ ἄρκτων Κανταβρίῳ Ὠκεανῷ.

§. 3. Τῆς μὲν οὖν
Λουσιτανίας ἐπαρχίας

ἡ μὲν Νῶρβα Καισάρεια τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ἰσημερινῶν ιδ̄ ∠γιβ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥραις ἰσημεριναῖς γ̄ καὶ ∠·

ἡ δὲ Αὐγούστα Ἠμερίτα τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιδ̄ ∠γ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥραις γ̄ ∠.

§. 4. Τῆς δὲ Βαιτικῆς
ἡ μὲν Ἵσπαλις ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ιδ̄

γο', καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥραις γ̄ ∠κ'·

ἡ δὲ Κορδύβη τὴν μεγίστην ἡμέραν ὡρῶν ιδ̄ γιβ', καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥραις γ̄ γιε'.

§. 5. Τῆς δὲ Ταῤῥακωνησίας

ἡ μὲν Ἀστουρίκα Αὐγοῦστα τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιε̄ γιβ', καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥραις γ̄ γιε'·

ἡ δὲ Νέα Καρχηδὼν ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ιδ̄ γ', καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥραις γ̄ ϛ'·

ἡ δὲ Ταῤῥακὼν ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ιε̄ ἔγγιστα, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥραις β̄ ∠γιβ'·

ἡ δὲ Κλουνία τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιε̄ γ', καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥραις γ̄ γ'·

ἡ δὲ Καισάρεια Αὐγοῦστα τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιε̄ ιβ', καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥραις γ̄ ιε'.

Γάδειρα δὲ ἡ νῆσος ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ιδ̄ ∠, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥραις γ̄ γ'.

Κεφ. ε'.

Εὐρώπης Πίναξ γ'.

§. 1. Ὁ τρίτος πίναξ τῆς Εὐρώπης περιέχει
τὰς Γαλλίας
ἐν τέτρασιν ἐπαρχίαις σὺν ταῖς παρακειμέναις νήσοις.

Ὁ δὲ διὰ μέσου αὐτοῦ παράλληλος λόγον ἔχει πρὸς τὸν μεσημβρινόν, ὃν τὰ β̅ πρὸς τὰ γ̅.

§. 2. *Περιορίζεται* δὲ ὁ πίναξ ἀπὸ μὲν ἀνατολῶν Γερμανίᾳ Μεγάλῃ, Ἰταλίᾳ καὶ Ῥαιτίᾳ, ἀπὸ δὲ μεσημβρίας τῇ Γαλλικῇ θαλάσσῃ, (*) ἀπὸ δὲ δύσεως τοῖς Πυρηναίοις ὄρεσι καὶ τῷ Ἀκουϊτανικῷ κόλπῳ, ἀπὸ δὲ ἄρκτων τῷ Βρετανικῷ Ὠκεανῷ.

§. 3. Τῆς μὲν οὖν

Ἀκουϊτανίας Κελτογαλατίας

τὸ μὲν Μεδιολάνιον ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ιε̅ ∠δ', καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥραις ἰσημεριναῖς β̅ γ'.

§. 4. Ἡ δὲ Βουρδίγαλα τὴν μεγίστην ἡμέραν ὡρῶν ιε̅ ∠, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥραις β̅ ∠γ.

§. 5. Τῆς δὲ Λουγδουνησίας Γαλλίας

τὸ μὲν Αὐγουστόδουνον ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ιε̅ ∠δ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥραις β̅ γιβ'·

τὸ δὲ Λούγδουνον ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ιε̅ ∠, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥραις β̅ ∠.

§. 6. Τῆς δὲ Βελγικῆς Γαλλίας

τὸ μὲν Γησοριακὸν ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ις̅ ∠γ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥραις β̅ ∠δ·

τὸ δὲ Δουροκόττορον ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ις̅, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥραις β̅ γιβ'.

§. 7. Τῆς δὲ

Ναρβωνησίας Κελτογαλατίας

ἡ μὲν *Μασσαλία* τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιε̄ δ', καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥραις β̄ γιε'·

ἡ δὲ *Ναρβὼν* ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ιε̄ δ', καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥραις β̄ ∠ιβ'·

ἡ δὲ *Οὐϊέννα* τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιε̄ ∠, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥραις β̄ ∠.

ἡ δὲ *Νέμαυσος* ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ιε̄ γιβ', καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥραις β̄ ∠ιε'.

Κεφ. ς'.

Εὐρώπης Πίναξ δ'.

§. 1. Ὁ τέταρτος πίναξ τῆς Εὐρώπης περιέχει

τὴν Μεγάλην Γερμανίαν

σὺν ταῖς περὶ αὐτὴν νήσοις. Ὁ δὲ διὰ μέσου αὐτοῦ παράλληλος λόγον ἔχει πρὸς τὸν μεσημβρινὸν, ὃν τὰ γ̄ πρὸς τὰ ε̄.

§. 2. Περιορίζεται δὲ ὁ πίναξ ἀπὸ μὲν *ἀνατολῶν* Ἰάζυξι Μετανάσταις, καὶ Σαρματίᾳ τῇ ἐν Εὐρώπῃ, ἀπὸ δὲ *μεσημβρίας* Ῥαιτίᾳ καὶ Νωρικῷ καὶ δυσὶ Παννονίαις, ἀπὸ δὲ *δυσμῶν* τῇ διὰ Ῥήνου ποταμοῦ Γαλλίᾳ τῇ Βελγικῇ, ἀπὸ δὲ *ἄρκτων* Γερμανικῷ Ὠκεανῷ.

§. 3. Τῶν δὲ ἐν τῇ Γερμανίᾳ διασήμων πόλεων ἡ μὲν *Ἀμάσεια* τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ις̄ ∠,

καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥραις δυσὶν ἔγγιστα·

ἡ δὲ Λουππία τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ις̅ ιβ΄, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥραις α̅ γ΄·

τὸ δὲ Ἐβουρόδουνον ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ιε̅ 𐅵γιβ΄, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥρᾳ μιᾷ καὶ τρίτῳ.

§. 4. Ἡ δὲ Σκανδία νῆσος ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ιη̅, καὶ διέστηκεν Ἀλεξανδρείας καὶ δύσεως ὥρᾳ μιᾷ.

Κεφ. ζ΄.

(*) Εὐρώπης Πίναξ ε΄.

§. 1. Ὁ πέμπτος πίναξ τῆς
Εὐρώπης περιέχει Ῥαιτίαν,
καὶ Οὐϊνδελικίαν,
καὶ Νωρικόν,
καὶ τὰς δύο Παννονίας,
καὶ τὴν Ἰλλυρίδα.

πᾶσαν σὺν ταῖς παρακειμέναις νήσοις. Ὁ δὲ διὰ μέσου αὐτοῦ παράλληλος λόγον ἔχει πρὸς τὸν μεσημβρινόν, ὃν τὰ μγ̅ πρὸς τὰ ξ̅.

§. 2. Περιορίζεται δὲ ὁ πίναξ ἀπὸ μὲν ἀνατολῶν Ἰάζυξι Μετανάσταις καὶ Μυσίᾳ τῇ ἄνω, ἀπὸ δὲ μεσημβρίας Ἰταλίᾳ καὶ Ἀδρίου κόλπου καὶ Μακεδονίας μέρεσιν, ἀπὸ δὲ δυσμῶν Γαλλίας καὶ Γερμανίας μέρεσιν, ἀπὸ δὲ ἄρκτων τῇ Μεγάλῃ Γερμανίᾳ διὰ τοῦ ποταμοῦ Δανουβίου.

§. 3. Τῆς μὲν οὖν Ῥαιτίας.

τὸ μὲν Βριγάντιον τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιε̄ γ΄, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥραις β̄.

§. 4. Οὐϊνδελικίας

ἡ δὲ Αὐγούστα Οὐϊνδελικῶν ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ιε̄ γ΄, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥρᾳ ᾱ ∠γ.

§. 5. Τοῦ δὲ Νωρικοῦ

ἡ μὲν Ἀρελάτη τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιε̄ ∠δ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥρᾳ ᾱ γ΄·

τὸ δὲ Ἰούλιον Καρνικὸν ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ιε̄ ∠, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥρᾳ ᾱ γιε΄.

§. 6. Τῆς δὲ ἄνω Παννονίας

τὸ μὲν Παταύϊον ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ιε̄ ∠ιβ΄, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥρᾳ ᾱ ∠·

ἡ δὲ Σκαρβαντία ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ιε̄ ∠γ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥρᾳ ᾱ γ΄·

ἡ δὲ Ἥμωνα τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιε̄ ∠γ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥρᾳ ᾱ ∠ιε.

§. 7. Τῆς δὲ κάτω Παννονίας

τὸ μὲν Σέρβινον τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιε̄ ∠δ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥρᾳ μιᾷ καὶ ἕκτῳ·

ἡ δὲ Μουρσία τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιε̄ ∠η, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥρᾳ ᾱ ς΄·

τὸ δὲ Σίρμιον ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ιε´ ∠, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥρᾳ ᾱ ιε´.

§. 8. Τῆς δὲ Ἰλλυρίδος

ἡ μὲν Ἰάδερ τῆς Λιβουρνίας τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιε̄ γ´, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥρᾳ ᾱ ε´.

ἡ δὲ Σιδρῶνα τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιε´ γιβ´, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥρᾳ ᾱ η´.

(*) αἱ δὲ Σαλῶναι τῆς Δαλματίας ἔχουσι τὴν μεγίστην ἡμέραν ὡρῶν ιε̄ δ´, καὶ διεστήκασιν Ἀλεξανδρείας πρὸς δύσεις ὥρᾳ ᾱ η´.

ἡ δὲ Ναρβῶνα τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιε´ ∠, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥρᾳ ᾱ ιε´.

§. 9. Ἡ δὲ Σκαρδῶνα νῆσος τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιε̄ γ´, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥρᾳ μιᾷ ε´ ιε´.

Κεφ. η´.

Εὐρώπης Πίναξ ϛ´.

§. 1. Ὁ ἕκτος πίναξ τῆς Εὐρώπης περιέχει Ἰταλίαν ὅλην,
καὶ τὴν Κύρνον νῆσον,
καὶ τὰς περὶ αὐτὰς νήσους.

Ὁ δὲ διὰ μέσου αὐτοῦ παράλληλος λόγον ἔχει πρὸς τὸν μεσημβρινὸν, ὃν τὰ γ̄ πρὸς τὰ δ.

§. 2. Περιορίζεται δὲ ὁ πίναξ ἀπὸ μὲν ἀνατολῶν Ἀδρίᾳ κόλπῳ καὶ Ἰονίῳ πελάγει, ἀπὸ δὲ μεσημβρίας Λιγυστικῷ πελάγει καὶ Τυῤῥηνικῷ καὶ μέρει τοῦ Ἀδριατικοῦ, ἀπὸ δὲ δυσμῶν [τοῖς παρὰ τὴν Γαλλι-

αν] Ἀλπίοις ὄρεσιν, ἀπὸ δὲ ἄρκτων τοῖς τε ὑπὸ τὴν Ῥαιτίαν καὶ Οὐϊνδελικίαν Ἀλπίοις ὄρεσι καὶ τῷ ὑπὸ τὸ Νωρικὸν Ἀλπίῳ ὄρει καλουμένῳ τε Καρουάγκᾳ καὶ μέρει τοῦ Ἀδρίου κόλπου.

§. 3. Τῶν μὲν οὖν

ἐν τῇ Ἰταλίᾳ

ἐπισήμων πόλεων τὸ μὲν βασίλειον Ῥώμη τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ἰσημερινῶν ιε ιβ', καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥρᾳ α ∠η'·

ἡ δὲ Νίκαια Μασσαλιωτῶν τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιε δ', καὶ διεστήκασιν Ἀλεξανδρείας πρὸς δύσεις ὥραις β η'·

αἱ δὲ Ταῤῥακῖναι τὴν μεγίστην ἡμέραν ἔχουσιν ὡρῶν ιε ιβ', καὶ διεστήκασιν Ἀλεξανδρείας πρὸς δύσεις ὥρᾳ α ∠·

§. 4. ἡ δὲ Νεάπολις τὴν μεγίστην ἡμέραν ἔχει, ὡρῶν ιδ ∠γιβ', καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥρᾳ α. γ'·

τὸ δὲ Βρεντέσιον τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιδ ∠γ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥρᾳ α ς'.

§. 5. Ὁ δὲ Ἀγκὼν ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ιε γ', καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥρᾳ α καὶ ιε'·

ἡ δὲ Ῥάβεννα τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν μεσημβρινῶν ιε γιβ', καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥρᾳ α γιε'·

§. 6. ἡ δὲ Ἀκουιληΐα τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιε ∠, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥρᾳ α ∠δ·

ἡ δὲ Βενέουεντος ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ιε ιβ', καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥρᾳ α ιε'·

ἡ δὲ Καπύη τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιε ιβ', καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥρᾳ α γ'.

§. 7. Τῆς δὲ Κύρνου νήσου

ἡ μὲν Ἀλερία τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιδ ∠γ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥραις β ἔγγιστα·

ἡ δὲ Μαριανὴ τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιε, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥραις β ἔγγιστα.

Κεφ. θ'.

(*) Εὐρώπης Πίναξ ζ'.

§. 1. Ὁ ἕβδομος πίναξ τῆς Εὐρώπης περιέχει Σαρδώ, Σικελίαν, καὶ τὰς περὶ αὐτὰς νήσους.

Ὁ δὲ διὰ μέσου αὐτοῦ παράλληλος λόγον ἔχει πρὸς τὸν μεσημβρινόν, ὃν τὰ δ πρὸς τὰ ε.

§. 2. Περιορίζεται δὲ ὁ πίναξ πάντοθεν πελάγεσιν, ἀπὸ μὲν ἀνατολῶν τῷ Ἀδριατικῷ, ἀπὸ δὲ μεσημβρίας τῷ Ἀφρικανῷ, ἀπὸ δὲ δύσεως τῷ Σαρδῴῳ, ἀπὸ δὲ ἄρκτων Λιγυστικῷ καὶ Τυῤῥηνικῷ.

§. 3. Τῆς μὲν οὖν Σαρδοῦς νήσου

οἱ μὲν Σόλκοι τὴν μεγίστην ἡμέραν ἔχουσιν ὡρῶν ἰσημερινῶν ιδ ∠ιβ, καὶ διεστήκασιν Ἀλεξανδρείας πρὸς δύσεις ὥρᾳ μιᾷ ἡμίσει τρίτῳ καὶ πεντεκαιδεκάτῳ·

ἡ δὲ Κάραλλις τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιδ ∠, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥραις ᾱ ∠γ·

ὁ δὲ Πύργος [Λι]βίσσωνος ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ιδ ∠δ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥραις β̄ ἔγγιστα·

ἡ δὲ Γουρουλλὶς ἡ Νέα τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιδ γʹ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥραις β̄ ἔγγιστα.

§. 4. Τῆς δὲ Σικελίας.

τὸ μὲν Λιλύβαιον ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ιδ ∠, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥρᾳ ᾱ ∠ιε·

αἱ δὲ Συρακοῦσαι τὴν μεγίστην ἡμέραν ἔχουσιν ὡρῶν ιδ ∠η, καὶ διεστήκασιν Ἀλεξανδρείας πρὸς δύσεις ὥρᾳ ᾱ γιεʹ·

ἡ δὲ Μεσήνη τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιδ ∠δ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥρᾳ ᾱ γιεʹ·

αἱ δὲ Κεντούριπαι τὴν μεγίστην ἡμέραν ἔχουσιν ὡρῶν ιδ γʹ, καὶ διεστήκασιν Ἀλεξανδρείας πρὸς δύσεις ὥραις ᾱ γηʹ·

ἡ δὲ Σεγέστα τὴν μεγάλην ἡμέραν ἔχει ὡρῶν ιδ ∠, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥρᾳ ᾱ ∠ιε·

ἡ δὲ Κατάνη τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιδ γοʹ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥρᾳ ᾱ γιεʹ.

Κεφ. ι΄.

Εὐρώπης Πίναξ η΄.

§. 1. Ὁ ὄγδοος πίναξ
τῆς Εὐρώπης περιέχει τὴν ἐν αὐτῇ Σαρματίαν,
καὶ τὴν Ταυρικὴν Χερσόνησον.
ὁ δὲ διὰ μέσου αὐτοῦ παράλληλος λόγον ἔχει πρὸς τὸν μεσημβρινὸν, ὃν τὰ ια̅ πρὸς τὰ κ̅.

§. 2. Περιορίζεται δὲ ὁ πίναξ ἀπὸ μὲν ἀνατολῶν Βοσπόρῳ Κιμμερικῷ καὶ Μαιώτιδι λίμνῃ καὶ Ταναΐδι ποταμῷ κατὰ τὴν ἐν τῇ Ἀσίᾳ Σαρματίαν, ἀπὸ δὲ μεσημβρίας Ποντικῇ θαλάσσῃ καὶ Μυσίας τῆς κάτω μέρει καὶ Δακίᾳ, καὶ Ἰάζυξι Μετανάσταις, ἀπὸ δὲ δύσεως τοῖς καλουμένοις Σαρματικοῖς ὄρεσι καὶ Γερμανίᾳ καὶ Οὐϊστούλᾳ ποταμῷ, ἀπὸ δὲ ἄρκτων Οὐενεδικῷ κόλπῳ τοῦ Σαρματικοῦ Ὠκεανοῦ, καὶ ἔτι ἀγνώστῳ γῇ.

§. 3. Τῶν δὲ διασημοτέρων
ἐν τῇ Σαρματίᾳ
πόλεων ἡ μὲν Ταμυράκη τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ἰσημερινῶν ις̅, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥρας ἰσημερινῆς πεντεκαιδεκάτῳ.

(*) Τὸ δὲ Ναύαρον ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ις̅ δ΄, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥρας μιᾶς ὀγδόῳ·

ἡ δὲ Ὀλβία ἡ καὶ Βορυσθενὶς τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ις̅ ιβ΄, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥρας μιᾶς ε΄.

§. 4. Τῆς δὲ Ταυρικῆς Χερσονήσου ἡ μὲν Θεοδοσία τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιε̄ ∠γ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἀνατολὰς ὥρας μιᾶς ε΄·

ἡ δὲ Παντικαπαία τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιε̄ ∠γιβ΄, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἀνατολὰς μιᾶς ὥρας δ΄.

Κεφ. ια΄.

Εὐρώπης Πίναξ θ΄.

§. 1. Ὁ ἔνατος πίναξ

τῆς Εὐρώπης περιέχει	Ἰάζυγας Μετανάστας
καὶ	Δακίαν,
καὶ	τὰς δύο Μυσίας,
καὶ	Θρᾴκην,
καὶ	Χερσόνησον.

Ἁ δὲ διὰ μέσου αὐτοῦ παράλληλος λόγον ἔχει πρὸς τὸν μεσημβρινὸν, ὃν τὰ μγ̄ πρὸς τὰ ξ.

§. 2. Περιορίζεται δὲ ὁ πίναξ ἀπὸ μὲν ἀνατολῶν Ποντικῇ θαλάσσῃ καὶ Θρᾳκίῳ Βοσπόρῳ καὶ Προποντίδι καὶ Ἑλλησπόντῳ, ἀπὸ δὲ μεσημβρίας Αἰγαίῳ πελάγει καὶ Μακεδονίᾳ, ἀπὸ δὲ δύσεως Παννονίᾳ τῇ κάτω καὶ Δαλματίᾳ, ἀπὸ δὲ ἄρκτων Σαρματίᾳ τῇ ἐν Εὐρώπῃ.

§. 3. Τὸ μὲν οὖν Βόρμανον
τῶν Ἰαζύγων
ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ις̄, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥραις ᾱ ιβ΄.

§. 4. Τῆς δὲ Δακίας

αἱ μὲν Σαλῖναι τὴν μεγίστην ἡμέραν ἔχουσιν ὡρῶν ιε ∠γ, καὶ διεστήκασιν Ἀλεξανδρείας πρὸς δύσεις ὥρας μιᾶς ∠γ·

ἡ δὲ Ζαρμεσογέθουσα τὸ βασίλειον ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ιε ∠, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥρας μιᾶς ∠γ.

§. 5. Τῆς δὲ Μυσίας τῆς ἄνω·

ἡ μὲν Ῥαιτιαρία τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιε δ', καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥρας μιᾶς ∠δ.

οἱ δὲ Σκοῦποι τὴν μεγίστην ἡμέραν ἔχουσιν ὡρῶν ιε ε', καὶ διεστήκασιν Ἀλεξανδρείας πρὸς δύσεις ὥρας μιᾶς ∠ καὶ δ'.

§. 6. Τῆς δὲ Μυσίας τῆς κάτω

ἡ μὲν Ὀδησσὸς ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ιε ∠, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥρας μιᾶς γ'·

ἡ δὲ Οἶσκος ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ιε δη', καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥρας μιᾶς ∠ιβ.

§. 7. Τῆς δὲ Θρᾴκης

ἡ μὲν Αἶνος τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιε ιβ', καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥρας μιᾶς τρίτῳ καὶ ὀγδόῳ·

ἡ δὲ Ἀπολλωνία τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιε γιβ', καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις μιᾶς ὥρας γ'·

τὸ δὲ Βυζάντιον ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ιε δ', καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις μιᾶς ὥρας δ'·

(*) Ἡ δὲ Πέρινθος ἔχει τὴν μεγίστην ὡρῶν ιε̄ ϛ', καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις μιᾶς ὥρας τὸ γ'.

ἡ δὲ Νικόπολις τὴν μεγίστην ἔχει ὡρῶν ιε̄ ϛ', καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥρας μιᾶς ∠ιε.

ἡ δὲ Λυσιμαχία τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιε̄ ιβ', καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις μιᾶς ὥρας τὸ γιε'.

§. 8. Ἡ δὲ Προκό[ν]νησος ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ιε̄ ∠, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥρας μιᾶς τρίτῳ ἔγγιστα.

§. 9. Τῆς δὲ Χερσονήσου

ἡ μὲν Ἐλαιοῦς ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ιε̄, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις μιᾶς ὥρας τρίτῳ.

§. 10. Ἡ δὲ Σηστὸς ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ιε̄ ∠, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις μιᾶς ὥρας τρίτῳ.

Κεφ. ιβ'.

Εὐρώπης Πίναξ ι'.

§. 1. Ὁ δέκατος πίναξ καὶ τελευταῖος τῆς Εὐρώπης

περιέχει	Μακεδονίαν
καὶ	τὴν Ἤπειρον
καὶ	τὴν Ἀχαΐαν
καὶ	τὴν Πελοπόννησον
καὶ	τὴν Κρήτην
καὶ	τὴν Εὔβοιαν

σὺν ταῖς περὶ αὐτὰ νήσοις. Ὁ δὲ διὰ μέσου αὐτοῦ παράλληλος λόγον ἔχει, ὃν τὰ ζ πρὸς τὰ ϑ.

§. 2. Περιορίζεται δὲ ὁ πίναξ ἀπὸ μὲν ἀνατολῶν Αἰγαίῳ πελάγει καὶ Μυρτώῳ καὶ Καρπαθίῳ, ἀπὸ δὲ μεσημβρίας Ἀδριατικῷ πελάγει καὶ Λιβυκῷ, ἀπὸ δὲ δύσεως Ἰωνίῳ πελάγει καὶ Ἀδριατικῷ, ἀπὸ δὲ ἄρκτων Δαλματίᾳ καὶ Μυσίᾳ τῇ ἄνω καὶ Θρᾴκῃ.

§. 3. Τῶν μὲν οὖν

ἐν τῇ Μακεδονίᾳ

διασήμων πόλεων τὸ μὲν Δυῤῥάχιον ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ἰσημερινῶν ιε̄, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥρας διμοίρῳ·

§. 4. ἡ δὲ Θεσσαλονίκη τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιδ̄ ∠ιβ′, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥρας μιᾶς διμοίρῳ·

§. 5. ἡ δὲ Ἀμφίπολις τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιε̄, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥρας μιᾶς γ′ η′·

§. 6. ἡ δὲ Ἡράκλεια τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιε̄ η′, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις μιᾶς ὥρας ἡμίσει καὶ γ′·

§. 7. ἡ δὲ Ἔδεσσα τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιδ̄ ∠γιβ′, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥρας μιᾶς γη′·

§. 8. ἡ δὲ Πέλλα ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ιδ̄ ∠γιβ′ ἔγγιστα, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥρας τὸ γ̄ ιε′·

§. 9. ἡ δὲ Λάρισσα τῶν Πελασγιωτῶν ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ιδ̄ ∠δ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥρας ∠ιε′·

§. 10. Ἡ δὲ *Κασάνδρεια* τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιδ ∠γιε΄, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥρας μιᾶς ∠η΄·

§. 11. ἡ δὲ *Λῆμνος* νῆσος ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ιε, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥρας μιᾶς ἡμίσει.

§. 12. Τῆς δὲ *Ἠπείρου*

ἡ μὲν *Νικόπολις* ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ιδ ∠η΄, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥρας ἡμίσει καὶ τρίτῳ·

§. 13. ἡ δὲ *Ἀμβρακία* τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιδ ∠δ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις μιᾶς ὥρας ἡμίσει καὶ τρίτῳ ἔγγιστα.

§. 14. (*) ἡ δὲ ἐν τῇ *Κερκύρᾳ* νήσῳ πόλις ὁμώνυμος ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ιδ ∠η, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥρᾳ α·

§. 15. ἡ δὲ *Κεφαληνία* νῆσος τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιδ ∠ιβ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥρας γε΄.

§. 16. Τῆς δὲ *Ἀχαΐας*

αἱ μὲν *Βοιώτιαι Θῆβαι* τὴν μεγίστην ἡμέραν ἔχουσιν ὡρῶν ιδ ∠δ, καὶ διεστήκασιν Ἀλεξανδρείας πρὸς δύσεις μιᾶς ὥρας τὸ ∠·

§. 17. τὰ δὲ *Μέγαρα* τὴν μεγίστην ἡμέραν ἔχουσιν ὡρῶν ιδ ∠η΄, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥρας τὸ ∠ιε·

§. 18. αἱ δὲ *Ἀθῆναι* τὴν μεγίστην ἡμέραν ἔχουσιν ὡρῶν ιδ ∠ιβ΄, καὶ διεστήκασιν Ἀλεξανδρείας πρὸς δύσεις ὥρας μιᾶς ἡμίσει.

§. 19. Τῆς δὲ Πελοποννήσου

ἡ μὲν Μεσσήνη τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιδ γιβ', καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις μιᾶς ὥρας γιβ'·

§. 20. ἡ δὲ Κόρινθος τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιδ ∠ιβ', καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις μιᾶς ὥρας ∠η'·

§. 21. ἡ δὲ Τέγεα τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιδ ∠, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις μιᾶς ὥρας τὸ ∠ε·

§. 22. τὸ δὲ Ἄργος ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ιδ ∠, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις μιᾶς ὥρας ∠η·

§. 23. ἡ δὲ Λακεδαίμων ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ιδ ∠, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις μιᾶς ὥρας διμοίρῳ.

§. 24. Τῆς δὲ Εὐβοίας

ἡ μὲν Χαλκὶς ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ιδ ∠δ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις μιᾶς ὥρας τὸ ∠·

ἡ δὲ Κάρυστος ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ιδ ∠η, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις μιᾶς ὥρας γιε'.

§. 25. Τῆς δὲ Κρήτης νήσου

ἡ μὲν Γόρτυνα ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ιδ δη', καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥρας μιᾶς γιβ'·

ἡ δὲ Κνωσσὸς τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν μεσημβρινῶν ιδ γη', καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥρας μιᾶς γ'.

Κεφ. ιγʹ.

Λιβύης Πίναξ αʹ.

§. 1. Ὁ πρῶτος πίναξ τῆς Λιβύης περιέχει
τὰς δύο Μαυριτανίας,
τήν τε Τιγγιτανὴν
καὶ τὴν Καισαρηνσίαν.

Ὁ δὲ διὰ μέσου παράλληλος λόγον ἔχει πρὸς τὸν μεσημβρινὸν, ὃν τὰ ιγ̄ πρὸς τὰ ιε.

§. 2. Περιορίζεται δὲ ὁ πίναξ ἀπὸ μὲν ἀνατολῶν Ἀφρικῇ, ἀπὸ δὲ μεσημβρίας τῇ ἐντὸς Λιβύῃ κατὰ Γαιτουλίαν, ἀπὸ δὲ δύσεως τῷ δυτικῷ Ὠκεανῷ, ἀπὸ δὲ ἄρκτων Ἡρακλείῳ πορθμῷ καὶ Ἰβηρικῷ πελάγει καὶ Σαρδώῳ.

§. 3. Τῶν μὲν οὖν ἐν τῇ
Τιγγιτανῇ Μαυριτανίᾳ
διασήμων πόλεων ἡ μὲν Τίγγις τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ἰσημερινῶν ιδ 𐅵, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥραις γ̄ 𐅵 ιβʹ.

§. 4. Ἡ δὲ Ζιλία (ἢ Ζειλία) τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιδ γιεʹ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥραις γ̄ 𐅵ι·

§. 5. (*) ἡ δὲ Λὶξ ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ιδ γιεʹ· καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥραις γ̄ 𐅵ιβ·

§. 6. ἡ δὲ Οὐολουβιλὶς ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ιδ γʹ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥρας γ̄ 𐅵.

§. 7. Τῆς δὲ

Καισαρηνσίας Μαυριτανίας

ἡ μὲν Κάρτινα τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιδ γ', καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥραις γ̄ ∠ιε'·

§. 8. ἡ δὲ Ἰὼλ Καισάρεια ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ιδ δ', καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥραις μ̄ ∠γιε·

§. 9. αἱ δὲ Σάλδαι τὴν μεγίστην ἡμέραν ἔχουσιν ὡρῶν ιδ ς', καὶ διεστήκασιν Ἀλεξανδρείας πρὸς δύσεις ὥρας β̄ ∠ιε·

§. 10. τὸ δὲ Ὄππιδον Νέον ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ιδ καὶ ιβ', καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥραις δυσὶ γ' καὶ ιε'·

§. 11. ἡ δὲ Ζουγάβαῤῥι τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιδ ε', καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥραις β̄ βγ' καὶ ιε'·

§. 12. ἡ δὲ Τουβούσουπτος ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ιδ η', καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥραις μ̄ ∠.

Κεφ. ιδ'.

Λιβύης Πίναξ β'.

§. 1. Ὁ δεύτερος πίναξ τῆς Λιβύης περιέχει
τὴν Ἀφρικὴν
καὶ τὰς περὶ αὐτὴν νήσους.

Ὁ δὲ διὰ μέσου αὐτοῦ παράλληλος λόγον ἔχει πρὸς τὸν μεσημβρινόν, ὃν τὰ ιγ̄ πρὸς τὰ ιε̄.

§. 2. Καὶ περιορίζεται δὲ ὁ πίναξ, ἀπὸ μὲν ἀνα-

τολῶν Κυρηναϊκῇ, ἀπὸ δὲ μεσημβρίας τῇ ἐντὸς Λιβύῃ κατὰ Γαιτουλίαν καὶ τὴν Ἔρημον, ἀπὸ δὲ δύσεως Μαυριτανίᾳ τῇ Καισαρηνσίᾳ, ἀπὸ δὲ ἄρκτων Ἀφρικανῷ πελάγει.

§. 3. Τῶν δὲ ἐν τῇ Ἀφρικῇ διασήμων πόλεων Θάβρακα τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ἰσημερινῶν ιδ ς', καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥραις δυσὶν ἔγγιστα·

§. 4. ἡ δὲ Ἰτύκη ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ιδ ε', καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥραις α̅ ∠δ·

§. 5. ἡ δὲ Καρχηδὼν ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ιδ ε', καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥρας α̅ ∠δ'·

§. 6. ἡ δὲ Ἀδρούμητος ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ιδ ε', καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥρας α̅ ∠ιβ'·

§. 7. ἡ δὲ Μεγάλη Λέπτις ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ιδ η', καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥρᾳ μιᾷ καὶ πέμπτῳ·

§. 8. ἡ δὲ Κίρτα Ἰουλία ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ιδ ιβ', καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥραις δυσὶ καὶ δ'·

§. 9. ἡ δὲ Σίκα Οὐενερία ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ιδ ιβ', καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥραις β̅·

§. 10. ἡ δὲ Βοῦλλα Ῥηγία ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ιδ η', καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥραις β̅·

§. 11. ἡ δὲ Οὔθινα ἔχει τὴν μεγίστην ἡμέραν ὡ-

ρῶν ιδ̄ ιβ´, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥρας ᾱ ∠δ·

§. 12. ἡ δὲ Θύσδρος ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ιδ̄ ς´, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥραις ᾱ ∠ιε·

§. 13. ἡ δὲ Μῆνιγξ νῆσος ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ιδ̄ ιβ´, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥραις ᾱ γιε´·

§. 14. ἡ δὲ Κόσσυρα (ἢ Κόσσουρα) νῆσος ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ιδ̄ γ´, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥρᾳ μιᾷ καὶ ἕκτῳ·

§. 15. ἡ δὲ Μελίτη νῆσος ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ιδ̄ δ´, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥρᾳ ᾱ γ´ καὶ η´.

Κεφ. ιε´.

Λιβύης Πίναξ γ´.

§. 1. Ὁ τρίτος πίναξ τῆς Λιβύης περιέχει
τὴν Κυρηναϊκὴν
καὶ Αἴγυπτον
σὺν ταῖς παρακειμέναις νήσοις. Ὁ δὲ διὰ μέσου αὐτοῦ παράλληλος λόγον ἔχει πρὸς τὸν μεσημβρινόν, ὃν τὰ νγ̄ πρὸς τὰ ξ.

§. 2. Περιορίζεται δὲ ὁ πίναξ, ἀπὸ μὲν ἀνατολῶν Ἰουδαίᾳ καὶ Ἀραβίᾳ Πετραίᾳ καὶ Ἀραβικῷ κόλπῳ, ἀπὸ δὲ μεσημβρίας τῇ ἐντὸς Λιβύῃ Ἐρήμῳ καὶ τῇ πρὸς Αἴγυπτον Αἰθιοπίᾳ, ἀπὸ δὲ δύσεως Ἀφρικῇ καὶ τῇ Μεγάλῃ Σύρτει καὶ μέρει τῆς ἐντὸς Λιβύης· ἀπὸ δὲ ἄρκτων Λιβυκῷ πελάγει καὶ Αἰγυπτίῳ.

§. 3. Τῶν μὲν οὖν

ἐν τῇ Κυρηναϊκῇ

διασήμων πόλεων ἡ μὲν *Βερενίκη* τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ἰσημερινῶν ιδ δ', καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥρας ᾱ ἰσημερινῆς γε'·

§. 4. ἡ δὲ *Ἀρσινόη* ἡ καὶ *Τεύχειρα* τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιδ ιβ', καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥρας μιᾶς διμοίρῳ καὶ πεντεκαιδεκάτῳ·

§. 5. ἡ δὲ *Πτολεμαῒς* τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιδ η', καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥρας ∠ δ'·

§. 6. ἡ δὲ *Ἀπολλωνία* τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιδ η', καὶ διέστηκεν Ἀλεξανδρείας μιᾶς διμοίρῳ·

§. 7. ἡ δὲ *Κυρήνη* τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιδ ιβ', καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥρας μιᾶς διμοίρῳ.

§. 8. Τῆς δὲ *Μαρμαρικῆς* Λιβύης

ἡ μὲν Μεγάλη *Χερσόνησος* ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ιδ ιβ', καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥρας ᾱ ιε'.

§. 9. Τῆς δὲ *Λιβύης*

τὸ *Παραιτόνιον* τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιδ ιβ', καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις μιᾶς ὥρας τετάρτῳ.

§. 10. Τῆς δὲ *Αἰγύπτου*

ἡ μὲν *Ἀλεξάνδρεια* ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ιδ ιγ', καὶ διέστηκεν τοῦ διὰ τῶν Μακάρων νήσων μεσημβρινοῦ πρὸς ἀνατολὰς ὥραις δ·

§. 11. Τὸ δὲ *Πηλούσιον* ἔχει τὴν μεγίστην ἡμέ-

ραν ὡρῶν ιδ̄ ιβ', καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἀνατολὰς μιᾶς ὥρας πέμπτῳ·

§. 12. ἡ δὲ Μέμφις ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ιδ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἀνατολὰς μιᾶς ὥρας ὀγδόῳ.

§. 13. Τῆς δὲ καλουμένης Θηβαΐδος

ἡ Πτολεμαῒς Ἑρμείου τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιγ̄ ∠δ', καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἀνατολὰς μιᾶς ὥρας ὀγδόῳ·

§. 14. ἡ δὲ Μεγάλη Διὸς πόλις ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ιγ̄ ∠η', καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἀνατολὰς μιᾶς ὥρας ὀγδόῳ·

§. 15. Ἡ δὲ Συήνη τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιγ̄ ∠, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἀνατολὰς μιᾶς ὥρας τὸ ι', ὁ δὲ ἥλιος ἅπαξ τοῦ ἔτους ἐν αὐτῇ γίνεται κατὰ κορυφὴν, ὅταν ἐπ' αὐτὰς ᾖ τὰς θερινὰς τροπάς.

§. 16. Ὁ δὲ Ἄμμων ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ιγ̄ ∠γ', καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥρας γ'.

§. 17. (*) Ἡ δὲ Μεγάλη Ὄασις ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ιγ̄ γ', καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥρας τὸ ιε'.

§. 18. Ὁ δὲ Μυὸς ὅρμος ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ιγ̄ ∠δ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἀνατολὰς ὥρας μιᾶς δ'·

§. 19. ἡ δὲ Βερενίκη ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ιγ̄ ∠, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἀνατολὰς ὥρας μιᾶς τὸ δ'· ὁ δὲ ἥλιος ἅπαξ τοῦ ἔτους ἐν

αὐτῇ γίνεται κατὰ κορυφὴν, ὅταν ἐπ᾽ αὐτὰς ᾖ τὰς θερινὰς τροπάς.

Κεφ. ιϛ΄.

Λιβύης Πίναξ δ΄.

§. 1. Ὁ τέταρτος καὶ τελευταῖος πίναξ τῆς Λιβύης
περιέχει τήν τε ἐντὸς Λιβύην,
καὶ τὴν Αἰθιοπίαν,
τήν τε ὑπὸ Αἴγυπτον,
καὶ τὴν ἐντὸς
σὺν ταῖς παρακειμέναις αὐταῖς νήσοις. Ὁ δὲ διὰ μέσου παράλληλος τὸν αὐτὸν ἐγγὺς λόγον ἔχει πρὸς τὸν μεσημβρινόν.

§. 2. Περιορίζεται δὲ ὁ πίναξ ἀπὸ μὲν ἀνατολῶν Ἀραβίῳ κόλπῳ καὶ Ἐρυθρᾷ θαλάσσῃ καὶ Βαρβαρικῷ πελάγει καὶ μέρει τοῦ Ἰνδικοῦ πελάγους, ἀπὸ δὲ μεσημβρίας ἀγνώστῳ γῇ, καὶ ἀπὸ δύσεως ἀγνώστῳ γῇ καὶ δυτικῷ Ὠκεανῷ, ἀπὸ δὲ ἄρκτων ταῖς τε δυσὶ Μαυριτανίαις καὶ Ἀφρικῇ καὶ Κυρηναϊκῇ καὶ Αἰγύπτῳ.

§. 3. Τῶν μὲν οὖν
κατὰ τὴν ἐντὸς Λιβύην
διασημοτέρων πόλεων αἱ μὲν Αὐτολάλαι τὴν μεγίστην ἡμέραν ἔχουσιν ὡρῶν ἰσημερινῶν ιγ̄ ∠, καὶ διεστήκασιν Ἀλεξανδρείας πρὸς δύσεις ὥραις τρισὶ καὶ τρίτῳ· ὁ δὲ ἥλιος ἅπαξ τοῦ ἔτους ἐκεῖ γίνεται κατὰ κορυφὴν, ὅταν ἐπ᾽ αὐτὰς ᾖ τὰς θερινὰς τροπάς.

§. 4. Ἡ δὲ Ἰάρζειθα τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιβ̄ ∠γιβ΄, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥρας γ̄ γ΄, ὁ δὲ ἥλιος δὶς τοῦ ἔτους ἐν αὐτῇ γίνε-

ται κατὰ κορυφὴν, ἀπέχων τῆς θερινῆς τροπῆς ἐφ' ἑκάτερα μοίρας μη̅ γʹ.

§. 5. Ἡ δὲ Θαμουδόκανα τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιγ̅ ∠, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥρας β̅ ∠, λαμβάνει δὲ δὶς τοῦ ἔτους τὸν ἥλιον κατὰ κορυφὴν, ὅταν ἀπέχῃ τῆς θερινῆς τροπῆς ἐφ' ἑκάτερα μοίρας νγ̅ γʹ.

§. 6. Ἡ δὲ Γεῖρα ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ιγ̅ ιβʹ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥρας μιᾶς ∠ηʺ· λαμβάνει δὲ τὸν ἥλιον δὶς τοῦ ἔτους κατὰ κορυφὴν, ὅταν ἀπέχῃ τῆς θερινῆς τροπῆς ἐφ' ἑκάτερα μοίρας μ̅ ϛʹ.

§. 7. Ἡ δὲ Γαράμη τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιγ̅ δʹ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥρᾳ μιᾷ ϛʹ· ὁ δὲ ἥλιος δὶς τοῦ ἔτους ἐν αὐτῇ γίνεται κατὰ κορυφὴν, ἀπέχων τῆς θερινῆς τροπῆς ἐφ' ἑκάτερα μοίρας κε.

§. 8. Τῆς δὲ

ὑπὸ Αἴγυπτον Αἰθιοπίας

τὰ μὲν Νάπατα τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιγ̅ δʹ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἀνατολὰς μιᾶς ὥρας ϛʹ· ὁ δὲ ἥλιος δὶς τοῦ ἔτους γίνεται κατὰ κορυφὴν, ἀπέχων τῆς θερινῆς τροπῆς ἐφ' ἑκάτερα μοίρας λᾱ ϛʹ.

§. 9. Ἡ δὲ Μερόη τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιγ̅, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἀνατολὰς ὥρας μιᾶς ιεʹ, λαμβάνει δὲ δὶς τοῦ ἔτους τὸν ἥλιον κατὰ κορυφὴν, ὅταν ἀπέχῃ τῆς θερινῆς τροπῆς ἐφ' ἑκάτερα μοίρας με̅ γʹ.

§. 10. Ἡ δὲ Πτολεμαῒς ἡ τῶν Θηρῶν ἔχει τὴν

μεγίστην ἡμέραν ὡρῶν ιγ̄, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἀνατολὰς μιᾶς ὥρας τὸ γ΄· ὁ δὲ ἥλιος δὶς τοῦ ἔτους ἐν αὐτῇ (*) γίνεται κατὰ κορυφὴν, ἀπέχων τῆς θερινῆς τροπῆς ἐφ᾽ ἑκάτερα μοίρας μθ̄ γ΄.

§. 11. Ἡ δὲ Ἀδούλη (ἢ Ἀδουλίς) τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιβ̄ ∠δ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἀνατολὰς μιᾶς ὥρας γιβ΄· λαμβάνει δὲ δὶς τοῦ ἔτους τὸν ἥλιον κατὰ κορυφὴν, ὅταν ἀπέχῃ τῆς θερινῆς τροπῆς ἐφ᾽ ἑκάτερα μοίρας ξβ̄.

§. 12. Ἡ δὲ Δήρη τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιβ̄ ιβ΄, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἀνατολὰς, μιᾶς ὥρας γ΄ καὶ δ΄· τὸν δὲ ἥλιον δὶς τοῦ ἔτους λαμβάνει κατὰ κορυφὴν, ὅταν ἀπέχῃ τῆς θερινῆς τροπῆς ἐφ᾽ ἑκάτερα μοίρας ξβ̄.

§. 13. Τὸ δὲ Μόσυλον ἄκρον ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ιβ̄ ∠, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἀνατολὰς ὥρας μιᾶς δ΄, ὁ δὲ ἥλιος δὶς τοῦ ἔτους ἐκεῖ γίνεται κατὰ κορυφὴν, ἀπέχων τῆς θερινῆς τροπῆς ἐφ᾽ ἑκάτερα μοίρας ξη̄ η΄.

§. 14. Τὰ δὲ Ἀρώματα τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιβ̄ γ΄, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἀνατολὰς ὥρας μιᾶς ∠· τὸν δὲ ἥλιον δὶς τοῦ ἔτους λαμβάνει κατὰ κορυφὴν, ἀπέχοντα τῆς θερινῆς τροπῆς ἐφ᾽ ἑκάτερα μοίρας οθ̄.

Κεφ. ιζ΄.

Ἀσίας Πίναξ α΄.

§. 1. Ὁ πρῶτος πίναξ Ἀσίας περιέχει

Πόντον,

καὶ *Βιθυνίαν*,
καὶ *τὴν ἰδίως Ἀσίαν*,
Γαλατίαν,
καὶ *Παμφυλίαν*,
καὶ *Καππαδοκίαν*,
καὶ *Κιλικίαν*.

Ὁ δὲ διὰ μέσου αὐτοῦ παράλληλος λόγον ἔχει πρὸς τὸν μεσημβρινὸν, ὃν τὰ γ̄ πρὸς τὰ δ.

§. 2. Περιορίζεται δὲ ὁ πίναξ ἀπὸ μὲν *ἀνατολῶν* Ἀρμενίᾳ τῇ Μεγάλῃ καὶ μέρει Συρίας, ἀπὸ δὲ *μεσημβρίας* πελάγεσι Καρπαθίῳ καὶ Λυκιακῷ καὶ Παμφυλίῳ, τῷ τε Κιλικίῳ Αὐλῶνι καὶ τῷ Ἰσσικῷ κόλπῳ, ἀπὸ δὲ *δύσεως* Βοσπόρῳ Θρᾳκίῳ καὶ Προποντίδι καὶ Ἑλλησπόντῳ, καὶ πελάγεσιν Αἰγαίῳ καὶ Ἰκαρίῳ καὶ Μυρτώῳ, ἀπὸ δὲ *ἄρκτων* Ποντικῇ θαλάσσῃ.

§. 3. Τῶν μὲν οὖν

ἐν τῇ Βιθυνίᾳ

διασήμων πόλεων ἡ μὲν *Χαλκηδὼν* τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ἰσημερινῶν ιε̄ δ′, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις δ′ μιᾶς ὥρας ἰσημερινῆς·

§. 4. ἡ δὲ *Νικομήδεια* τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιε̄ ς′, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις δ′ μιᾶς ὥρας·

§. 5. ἡ δὲ *Ἀπάμεια* τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιε̄ ιβ′, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥρας μιᾶς ἕκτῳ·

§. 6. ἡ δὲ *Ἡράκλεια* τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιε̄ ιβ′, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις μιᾶς ὥρας δεκάτῳ·

§. 7. ἡ δὲ *Νίκαια* τὴν μεγίστην ἡμέραν ἔχει

ὡρῶν ιε̄ η΄, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις δ΄ μιᾶς ὥρας.

§. 8. Τῆς δὲ ἰδίως Ἀσίας

ἡ μὲν Κύζικος ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ιε̄ γ΄, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ε΄ καὶ ι΄ μιᾶς ὥρας·

§. 9. ἡ δὲ Ἀλεξάνδρεια ἡ Τρωὰς τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιε̄ ἔγγιστα, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις γ΄ μιᾶς ὥρας·

§. 10. (*) ἡ δὲ Πέργαμος τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιδ̄ ∠γιβ΄, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ε΄ μιᾶς ὥρας·

§. 11. ἡ δὲ Σμύρνα τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιδ̄ ∠δ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὀγδόῳ μιᾶς ὥρας·

§. 12. ἡ δὲ Ἔφεσος τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιδ̄ γο΄, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ἕκτῳ μιᾶς ὥρας·

§. 13. ἡ δὲ Μίλητος ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ιδ̄ ∠ς΄, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ς΄ μιᾶς ὥρας·

§. 14. ἡ δὲ Κνίδος ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ιδ̄ ∠, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις δ΄ μιᾶς ὥρας·

§. 15. αἱ δὲ Σάρδεις ἔχουσι τὴν μεγίστην ἡμέραν ὡρῶν ιδ̄ ∠δ, καὶ διεστήκασιν Ἀλεξανδρείας πρὸς δύσεις η΄ μιᾶς ὥρας·

§. 16. ἡ δὲ Μαγνησία τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιδ̄ γ΄, καὶ διέστηκεν Ἀκεξανδρείας πρὸς δύσεις η΄ μιᾶς ὥρας·

§. 17. ἡ δὲ Ἀπάμεια τῆς Φρυγίας ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ιδ ∠δ, καὶ κεῖται ὑπὸ τὸν αὐτὸν ἔγγιστα τῇ Ἀλεξανδρείᾳ μεσημβρινόν·

§. 18. ἡ δὲ Κίβυρα τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιδ ∠δ, καὶ ὑπὸ τὸν αὐτὸν ἔγγιστα τῇ Ἀλεξανδρείᾳ κεῖται μεσημβρινόν·

§. 19. ἡ δὲ Μιτυλήνη τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιδ ∠γ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις ὥρας μιᾶς γ'·

§. 20. ἡ δὲ Χῖος ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ιδ ∠δ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις δ' μιᾶς ὥρας·

§. 21. ἡ δὲ Ῥόδος ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ιδ ∠, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς δύσεις η' μιᾶς ὥρας.

§. 22. Τῆς δὲ Λυκίας

τὰ μὲν Πάταρα ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ιδ ∠, καὶ ὑπὸ τὸν αὐτὸν τῇ Ἀλεξανδρείᾳ κεῖται μεσημβρινόν·

§. 23. τὰ δὲ Μύρα τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιδ ∠ιβ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἀνατολὰς μικρόν·

§. 24. ἡ δὲ Ἀνδριάκη τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιδ ∠ιβ, καὶ ὑπὸ τὸν αὐτὸν ἔγγιστα τῇ Ἀλεξανδρείᾳ κεῖται μεσημβρινόν·

§. 25. ἡ δὲ Λιμύρα τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιδ ∠ιβ', καὶ βραχὺ πρὸς ἀνατολὰς ἀπέχει τοῦ δι' Ἀλεξανδρείας μεσημβρινοῦ.

§. 26. Τῆς δὲ Γαλατίας

ἡ μὲν Σινώπη τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιε

δη', καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἀνατολὰς δ' μιᾶς ὥρας·

§. 27. ἡ δὲ Ἀμισὸς ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ιε δ', καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἀνατολὰς μιᾶς ὥρας γ'·

§. 28. ἡ δὲ Ἄγκυρα τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιε η', καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἀνατολὰς η' μιᾶς ὥρας·

§. 29. ἡ δὲ Γέρμα τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιε η', καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἀνατολὰς ὀλίγον παντελῶς·

§. 30. ἡ δὲ Πεσσινοῦς ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ιε, καὶ μικρὸν διέστηκεν Ἀλεξανδρείας πρὸς ἀνατολάς.

§. 31. Τῆς δὲ Παμφυλίας

ἡ μὲν Σίδη τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιδ ∠ιε, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἀνατολὰς ε' μιᾶς ὥρας·

§. 32. ἡ δὲ Πέργη τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιδ ∠ιβ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἀνατολὰς ιβ' μιᾶς ὥρας·

§. 33. ἡ δὲ Ἄσπενδος ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ιδ ∠ιβ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἀνατολὰς ϛ' μιᾶς ὥρας·

§. 34. ἡ δὲ Τερμησσὸς ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ιδ γ', καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἀνατολὰς θ' μιᾶς ὥρας.

§. 35. (*) Τῆς δὲ Καππαδοκίας

ἡ μὲν Τραπεζοῦς ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν

ιε δ', καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἀνατολὰς γ' μιᾶς ὥρας·

§. 36. ἡ δὲ Κόμανα ἡ Ποντικὴ ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ιε ιβ', καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἀνατολὰς τρίτῳ καὶ ὀγδόῳ μιᾶς ὥρας·

§. 37. τὰ δὲ Μάζακα τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιδ ∠γ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἀνατολὰς γιε' μιᾶς ὥρας.

§. 38. [Τῆς δὲ Μικρᾶς Ἀρμενίας]

ἡ Κόμανα ἡ Καππαδοκικὴ ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ιδ ∠δ ἔγγιστα, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἀνατολὰς ∠ μιᾶς ὥρας·

§. 39. ἡ δὲ Μελιτηνὴ τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιδ ∠γ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἀνατολὰς ἡμίσει καὶ τετάρτῳ μιᾶς ὥρας·

§. 40. ἡ δὲ Νικόπολις τῆς Μικρᾶς Ἀρμενίας ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ιε η', καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἀνατολὰς ∠ιε' μιᾶς ὥρας·

§. 41. τὰ δὲ Σάταλα τῆς Μικρᾶς Ἀρμενίας τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιε η', καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἀνατολὰς ἡμίσει καὶ ὀγδόῳ μιᾶς ὥρας.

§. 42. Τῆς δὲ Κιλικίας

ἡ μὲν Σελινοῦς ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ιδ ∠ιβ', καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἀνατολὰς δ' μιᾶς ὥρας·

§. 43. ἡ δὲ Πομπηϊόπολις, ἡ καὶ Σόλοι, ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ιδ ∠ιβ', καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἀνατολὰς ∠ μιᾶς ὥρας·

§. 44. ἡ δὲ Μαλλὸς ἔχει τὴν μεγίστην ἡμέραν

ὡρῶν ιδ ∠ιβ', καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἀνατολὰς ∠ μιᾶς ὥρας·

§. 45. ἡ δὲ Ταρσὸς ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ιδ ∠ιβ', καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἀνατολὰς ∠ μιᾶς ὥρας·

§. 46. τὰ δὲ Ἄδανα ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ιδ ∠ιβ', καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἀνατολὰς ∠ μιᾶς ὥρας.

Κεφ. ιη'.

Ἀσίας Πίναξ β'.

§. 1. Ὁ δεύτερος πίναξ τῆς Ἀσίας περιέχει

Σαρματίαν τὴν ἐν τῇ Ἀσίᾳ.

Ὁ δὲ διὰ μέσου αὐτοῦ παράλληλος λόγον ἔχει πρὸς τὸν μεσημβρινὸν, ὃν τὰ ξ πρὸς τὰ ιβ.

§. 2. Περιορίζεται δὲ ὁ πίναξ ἀπὸ μὲν ἀνατολῶν Σκυθίᾳ καὶ μέρει Κασπίας θαλάσσης, ἀπὸ δὲ μεσημβρίας Εὐξείνου Πόντου μέρει καὶ Κολχίδι καὶ Ἰβηρίᾳ καὶ Ἀλβανίᾳ, ἀπὸ δὲ δύσεως Σαρματίᾳ τῇ ἐν Εὐρώπῃ καὶ Μαιώτιδι λίμνῃ καὶ Βοσπόρῳ Κιμμερικῷ, ἀπὸ δὲ ἄρκτων ἀγνώστῳ γῇ.

§. 3. Τῶν δὲ ὀνομαζομένων

ἐν τῇ Σαρματίᾳ

πόλεων ἡ μὲν Ἑρμώνασσα τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ἰσημερινῶν ιε ∠γ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἀνατολὰς γ' μιᾶς ὥρας ἰσημερινῆς·

§. 4. ἡ δὲ Οἰνανθία τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιε ∠γ ἔγγιστα, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἀνατολὰς διμοίρῳ ἔγγιστα μιᾶς ὥρας·

§. 5. ἡ δὲ Ταναῒς τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιζ ϛ΄, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἀνατολὰς γ΄ ι΄ μιᾶς ὥρας·

§. 6. ἡ δὲ Τυράμβη τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιϛ ε΄, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἀνατολὰς ι΄ μιᾶς ὥρας·

§. 7. ἡ δὲ Ναύαρις τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιζ δ΄, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἀνατολὰς γ΄ μιᾶς ὥρας.

Κεφ. ιθ΄.

(*) Ἀσίας Πίναξ γ΄.

§. 1. Ὁ τρίτος πίναξ τῆς Ἀσίας περιέχει
Κολχίδα,
καὶ Ἰβηρίαν,
καὶ Ἀλβανίαν,
καὶ τὴν Μεγάλην Ἀρμενίαν.

Ὁ δὲ διὰ μέσου αὐτοῦ παράλληλος λόγον ἔχει πρὸς τὸν μεσημβρινὸν, ὃν τὰ ιδ πρὸς ιε.

§. 2. Περιορίζεται δὲ ὁ πίναξ ἀπὸ μὲν ἀνατολῶν μέρει τῆς Ὑρκανίας θαλάσσης καὶ ὁμοίως μέρει τῆς Μηδίας, ἀπὸ δὲ μεσημβρίας Μεσοποταμίᾳ καὶ Ἀσσυρίᾳ, ἀπὸ δὲ δύσεως Καππαδοκίᾳ καὶ μέρει τοῦ Εὐξείνου Πόντου, ἀπὸ δὲ ἄρκτων Σαρματίᾳ τῇ ἐν Ἀσίᾳ.

§. 3. Τῶν μὲν οὖν ἐν τῇ Κολχίδι διασήμων πόλεων ἡ μὲν Διοσκουριὰς ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ἰσημερινῶν ιε ∠δ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἀνατολὰς γ΄ καὶ ιε΄ μιᾶς ὥρας ἰσημερινῆς.

§. 4. ἡ δὲ Φάσις ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ιε̄ ∠, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἀνατολὰς ἡμίσει καὶ τρίτῳ μιᾶς ὥρας.

§. 5. Τῆς δὲ Ἰβηρίας

ἡ μὲν Ἀρτάνισσα ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ιε̄ ∠ιβ´, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἀνατολὰς ὥρᾳ μιᾷ·

§. 6. ἡ δὲ Ἁρμάκτικα τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιε̄ γιβ´, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἀνατολὰς ὥρᾳ μιᾷ.

§. 7. Τῆς δὲ Ἀλβανίας

ἡ μὲν Γαγγάρα (ἢ Γαίταρα) τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιε̄ ∠, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἀνατολὰς ὥρας μιᾶς.δ´·

§. 8. ἡ δὲ Ἄλβανα τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιε̄ ∠, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἀνατολὰς μιᾶς ὥρας γιβ´·

§. 9. ἡ δὲ Ὄσσικα τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιε̄ γη´, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἀνατολὰς ὥρας μιᾶς η´.

§. 10. Τῆς δὲ Μεγάλης Ἀρμενίας

ἡ μὲν Ἀρταξάτα τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιε̄ ε´, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἀνατολὰς ὥρᾳ μιᾷ ϛ´·

§. 11. ἡ δὲ Ἀρμαουρία τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιε̄ δ´ ἔγγιστα, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἀνατολὰς ὥρᾳ μιᾷ καὶ δεκάτῳ·

§. 12. ἡ δὲ Θωσπία τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιδ̄ γ´, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἀνατολὰς ὥρᾳ μιᾷ καὶ ἕκτῳ·

§. 13. ἡ δὲ Ἀρτέμιτα τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιδ ∠γιβ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἀνατολὰς ὥρας μιᾶς ε΄·

§. 14. ἡ δὲ Ἀρσαμόσατα τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιδ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἀνατολὰς ∠γ μιᾶς ὥρας.

Κεφ. κ΄.

Ἀσίας Πίναξ δ΄.

§. 1. Ὁ τέταρτος πίναξ τῆς Ἀσίας περιέχει

Κύπρον,

καὶ Συρίαν,

καὶ Ἰουδαίαν,

καὶ Ἀραβίαν Πετραίαν,

καὶ Ἀραβίαν Ἔρημον;

καὶ Βαβυλωνίαν,

καὶ Μεσοποταμίαν.

Ὁ δὲ διὰ μέσου αὐτοῦ παράλληλος λόγον ἔχει πρὸς τὸν μεσημβρινὸν, ὃν τὰ ε πρὸς τὰ ς.

§. 2. Περιορίζεται δὲ ὁ πίναξ ἀπὸ μὲν ἀνατολῶν Ἀσσυρίᾳ καὶ Σουσιανῇ καὶ μέρει τοῦ Περσικοῦ κόλπου, ἀπὸ δὲ μεσημβρίας τῷ τε μυχῷ τοῦ Ἀραβίου κόλπου καὶ τῇ Εὐδαίμονι Ἀραβίᾳ, (*) ἀπὸ δὲ δύσεως Κιλικίᾳ καὶ τῷ Ἰσσικῷ κόλπῳ καὶ πελάγεσιν Αἰγυπτίῳ καὶ Συριακῷ καὶ Παμφυλίῳ καὶ Αἰγύπτου μέρει, ἀπὸ δὲ ἄρκτων τῷ τε Κιλικίῳ αὐλῶνι καὶ μέρει τῆς Καππαδοκίας καὶ τῆς Μεγάλης Ἀρμενίας.

§. 3. Τῶν μὲν οὖν

ἐν τῇ Κύπρῳ

διασήμων πόλεων ἡ μὲν Πάφος ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ἰσημερινῶν ιδ γιβʹ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἀνατολὰς δʹ μιᾶς ὥρας ἰσημερινῆς.

§. 4. ἡ δὲ Ἀμαθοῦς ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ιδ γιβʹ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἀνατολὰς γʹ μιᾶς ὥρας καὶ ιεʹ·

§. 5. ἡ δὲ Σαλαμὶς ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ιδ ∠, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἀνατολὰς γιεʹ μιᾶς ὥρας.

§. 6. Τῆς δὲ Συρίας

ἡ μὲν Λαοδίκεια ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ιδ γιβʹ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἀνατολὰς ∠ μιᾶς ὥρας καὶ ιεʹ·

§. 7. ἡ δὲ Ἀντιόχεια τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιδ ∠, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἀνατολὰς ∠ιε μιᾶς ὥρας·

§. 8. ἡ δὲ Ἱεράπολις ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ιδ ∠, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἀνατολὰς ∠δʹ μιᾶς ὥρας·

§. 9. ἡ δὲ Ἀπάμεια τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιδ γιβʹ ἔγγιστα, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἀνατολὰς ∠ηʹ μιᾶς ὥρας·

§. 10. ἡ δὲ Πάλμυρα τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιδ γοʹ ἔγγιστα, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἀνατολὰς ἡμίσει καὶ τετάρτῳ μιᾶς ὥρας·

§. 11. ἡ δὲ Ἡλίου πόλις ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ιδ δʹ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἀνατολὰς ∠ μιᾶς ὥρας καὶ ιεʹ·

§. 12. ἡ δὲ *Πανιὰς Καισάρεια* ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ιδ δ' ἔγγιστα, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἀνατολὰς ∠ μιᾶς ὥρας·

§. 13. ἡ δὲ *Δαμασκὸς* ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ιδ δ', καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἀνατολὰς ἡμίσει καὶ δωδεκάτῳ μιᾶς ὥρας.

§. 14. Τῆς δὲ *Παλαιστίνης Ἰουδαίας*

ἡ μὲν *Καισάρεια* τοῦ Στράτωνος ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ιδ ϛ', καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἀνατολὰς γιε' μιᾶς ὥρας.

§. 15. ἡ δὲ *Ἀσκαλὼν* ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ιδ η' ἔγγιστα, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἀνατολὰς γ' μιᾶς ὥρας.

§. 16. ἡ δὲ *Τιβεριὰς* ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ιδ ϛ', καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἀνατολὰς ∠ μιᾶς ὥρας·

§. 17. ἡ δὲ *Νεάπολις* ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ιδ η', καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἀνατολὰς γιβ' μιᾶς ὥρας·

§. 18. ἡ δὲ *Αἰλία Καπιτωλιὰς Ἱεροσόλυμα* ἔχει ὡρῶν ιδ η', καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἕω μιᾶς ὥρας γ' καὶ ιε'·

§. 19. Τῆς δὲ *Πετραίας Ἀραβίας*

ἡ μὲν *Πέτρα* τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιδ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἕω μιᾶς ὥρας τρίτῳ καὶ δεκάτῳ·

§. 20. ἡ δὲ *Μήδαυα* ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ιδ ιβ', καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἕω μιᾶς ὥρας ∠ καὶ ιε'·

§. 21. τὰ δὲ *Βόστρα* τὴν μεγίστην ἡμέραν ἔχει

ὡρῶν ιδ η', καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἕω μιᾶς ὥρας διμοίρῳ ἔγγιστα.

§. 22. (*) Τῆς δὲ Μεσοποταμίας

ἡ μὲν Ἔδεσσα τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιδ ∠η', καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἕω ∠δ μιᾶς ὥρας·

§. 23. ἡ δὲ Νίσιβις ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ιδ γο', καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἕω ὥρας μιᾶς ∠·

§. 24. τὸ δὲ Νικηφόριον ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ιδ γιβ', καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἕω ὥρας τὸ ∠γ·

§. 25. ἡ δὲ Λάββανα τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιδ ∠ ἔγγιστα, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἕω ὥρας μιᾶς ς'·

§. 26. ἡ δὲ Σελεύκεια τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιδ γιβ', καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἕω ὥρας μιᾶς δ'.

§. 27. Τῆς δὲ Βαβυλωνίας

ἡ μὲν Βαβυλὼν ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ιδ γιβ', καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἕω ὥρας μιᾶς δ'·

§. 28. ἡ δὲ Βάρσιτα ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ιδ γ', καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἀνατολὰς ὥρας μιᾶς καὶ τετάρτῳ ἔγγιστα·

§. 29. ἡ δὲ Ὀρχόη τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιδ ς', καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἕω ὥρᾳ μιᾷ καὶ πέμπτῳ·

§. 30. ἡ δὲ Τερηδὼν ἔχει τὴν μεγίστην ἡμέραν

ὡρῶν ιδ ιβ' ἔγγιστα, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἕω ὥρᾳ μιᾷ καὶ τρίτῳ.

Κεφ. κα'.

Ἀσίας Πίναξ ε'.

§. 1. Ὁ πέμπτος πίναξ τῆς Ἀσίας περιέχει
Ἀσσυρίαν,
καὶ Σουσιανήν,
καὶ Μηδίαν,
καὶ Περσίδα,
Παρθίαν τε
καὶ τὴν Ἔρημον Καρμανίαν.

Ὁ δὲ διὰ μέσου αὐτοῦ παράλληλος λόγον ἔχει πρὸς τὸν μεσημβρινόν, ὃν τὰ δ̄ πρὸς τὰ ε̄.

§. 2. Περιορίζεται δὲ ὁ πίναξ ἀπὸ μὲν ἀνατολῶν Ἀρείᾳ, ἀπὸ δὲ μεσημβρίας τῇ Καρμανίᾳ τε καὶ τῷ Περσικῷ κόλπῳ, ἀπὸ δὲ δύσεως τῇ τε Βαβυλωνίᾳ καὶ τῇ Μεσοποταμίᾳ καὶ μέρει τῆς Μεγάλης Ἀρμενίας, ἀπὸ δὲ ἄρκτων τῆς τε Ὑρκανίας θαλάσσης μέρει καὶ τῇ χώρᾳ Ὑρκανίᾳ.

§. 3. Τῶν οὖν ἐν τῇ Ἀσσυρίᾳ διασήμων πόλεων ἡ μὲν Νῖνος ἡ καὶ Νινευῒ τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιδ ∠ιβ', καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἕω ὥρᾳ μιᾷ καὶ δ'·

ἡ δὲ Ἄρβηλα τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιδ ∠η', καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἕω ὥρᾳ μιᾷ καὶ γ'·

§. 4. ἡ δὲ Κτησιφῶν τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιδ γιβ' ἔγγιστα, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἕω ὥρᾳ μιᾷ καὶ γ'.

§. 5. *Τῆς δὲ Σουσιανῆς*

ἡ μὲν ὁμώνυμος αὐτῇ πόλις *Σοῦσα* τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιδ γʹ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἕω ὥρᾳ μιᾷ ∠ καὶ ιβʹ·

§. 6. ἡ δὲ *Ταρείανα* τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιδ ϛʹ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἕω ὥρᾳ μιᾷ καὶ ∠ ἔγγιστα·

§. 7. [ὁ δὲ *Πασινοῦ Χάραξ* τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιδ ιβʹ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἀνατολὰς ὥρας μιᾶς γʹ.]

§. 8. *Τῆς δὲ Μηδίας*

ἡ μὲν *Κυρόπολις* τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιε, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἕω ὥρᾳ μιᾷ καὶ γοʹ·

§. 9. (*) ἡ δὲ *Ἐκβάτανα* τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιδ γοʹ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἕω ὥρᾳ μιᾷ ∠ καὶ γʹ·

§. 10. ἡ δὲ *Ἀρσακία* τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιδ ∠ιβʹ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἕω ὥρᾳ μιᾷ ∠ καὶ γʹ·

§. 11. ἡ δὲ *Εὔρωπος* τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιδ ∠ιβʹ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἕω ὥραις β καὶ δʹ·

§. 12. *Τῆς δὲ Περσίδος*

ἡ μὲν *Ἄξιμα* τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιδ γʹ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἕω ὥρᾳ μιᾷ ∠ καὶ γʹ·

§. 13. ἡ δὲ *Περσέπολις* τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιδ δʹ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἕω ὥραις β καὶ ιεʹ·

§. 14. τὸ δὲ *Μαῤῥάσιον* τὴν μεγίστην ἡμέραν

ἔχει ὡρῶν ιδ γ', καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἕω ὥραις β καὶ ς'·

§. 15. ἡ δὲ Ταόκη τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιδ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἕω ὥραις β ἔγγιστα.

§. 16. Τῆς δὲ Παρθίας

ἡ μὲν Ἑκατόμπυλος τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιδ γο', καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἕω ὥραις δυσὶ γ' καὶ ιε'·

§. 17. ἡ δὲ Ἀμβρωδὰξ τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιδ ∠δ ἔγγιστα, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἕω ὥραις δυσὶ καὶ γ' ἔγγιστα·

§. 18. ἡ δὲ Ἀρτάκανα τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιδ δη', καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἕω ὥραις δυσὶ γ' καὶ ιε'·

Κεφ. κβ'.

Ἀσίας Πίναξ ς'.

§. 1. Ὁ ἕκτος πίναξ τῆς Ἀσίας περιέχει

τὴν Εὐδαίμονα Ἀραβίαν,

καὶ τὴν Καρμανίαν,

σὺν ταῖς παρακειμέναις νήσοις.

Ὁ δὲ διὰ μέσου αὐτοῦ παράλληλος λόγον ἔχει πρὸς τὸν μεσημβρινὸν, ὃν τὰ ια πρὸς τὰ ιβ.

§. 2. Περιορίζεται δὲ ὁ πίναξ ἀπὸ μὲν ἀνατολῶν Γεδρωσίᾳ καὶ Ἰνδικῷ πελάγει, ἀπὸ δὲ μεσημβρίας αὐτῷ τῷ Ἰνδικῷ πελάγει καὶ τῇ Ἐρυθρᾷ θαλάσσῃ, ἀπὸ δὲ δύσεως Ἀραβικῷ κόλπῳ, ἀπὸ δὲ ἄρκτων

ταῖς δυσὶν Ἀραβίαις τῇ τε Πετραίᾳ καὶ τῇ Ἐρήμῳ καὶ τῷ Περσικῷ κόλπῳ καὶ τῇ Ἐρήμῳ Καρμανίᾳ.

§. 3. Τῶν οὖν ἐν τῇ Εὐδαίμονι Ἀραβίᾳ διασήμων πόλεων

ἡ μὲν Δούμεθα τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ἰσημερινῶν ιγ ∠γιβ', καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἀνατολὰς ὥραν ἰσημερινὴν μίαν.

§. 4. Ἡ δὲ Βαδεὼ τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιγ δ', καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἕω μιᾶς ὥρας γ'· ὁ δὲ ἥλιος δὶς τοῦ ἔτους ἐκεῖ γίνεται κατὰ κορυφὴν, ἀπέχων τῆς θερινῆς τροπῆς ἐφ' ἑκάτερα μοίρας λ.

§. 5. Ἡ δὲ Ποῦδνου τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιγ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἕω μιᾶς ὥρας ∠ καὶ γ'· τὸν δὲ ἥλιον δὶς τοῦ ἔτους λαμβάνει κατὰ κορυφὴν, ἀπέχοντα τῆς θερινῆς τροπῆς ἐφ' ἑκάτερα μοίρας δ γ'.

§. 6. Ἡ δὲ Μοῦζα τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιβ ∠γ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἀνατολὰς ὥρᾳ μιᾷ ἔγγιστα· ὁ δὲ ἥλιος ἐν αὐτῇ δὶς τοῦ ἔτους ἐκεῖ γίνεται κατὰ κορυφὴν, ὅταν ἀπέχῃ τῆς θερινῆς τροπῆς ἐφ' ἑκάτερα μοίρας νγ δ'.

§. 7. (*) Ἡ δὲ Ὄκηλις ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ιβ ∠δ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἀνατολὰς ὥρᾳ μιᾷ· ὁ δὲ ἥλιος ἐν αὐτῇ γίνεται δὶς τοῦ ἔτους κατὰ κορυφὴν, ἀπέχων ἐφ' ἑκάτερα τῆς θερινῆς τροπῆς μοίρας νθ.

§. 8. Ἡ δὲ Ἀραβία τὸ ἐμπόριον ἔχει τὴν μεγίστην ἡμέραν ὡρῶν ιβ γο', καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἀνατολὰς ὥρας μιᾶς γ'· ὁ δὲ ἥλιος ἐν αὐτῇ δὶς τοῦ

ἔτους γίνεται κατὰ κορυφὴν, ἀπέχων ἐφ' ἑκάτερα τῆς θερινῆς τροπῆς μοίρας νθ ∠.

§. 9. Ἡ δὲ Κάνη τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιβ ∠δ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἀνατολὰς ὥρᾳ μιᾷ ἡμίσει καὶ δεκάτῳ· ὁ δὲ ἥλιος ἐκεῖ δὶς τοῦ ἔτους γίνεται κατὰ κορυφὴν, ἀπέχων τῆς θερινῆς τροπῆς ἐφ' ἑκάτερα μοίρας νθ.

§. 10. Ἡ δὲ Γέῤῥα τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιγ ∠, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἀνατολὰς ὥρᾳ μιᾷ καὶ τρίτῳ· ὁ δὲ ἥλιος ἐν αὐτῇ ἅπαξ τοῦ ἔτους γίνεται κατὰ κορυφὴν ἐπ' αὐτῆς τῆς θερινῆς τροπῆς.

§. 11. Ἡ δὲ Μάρα τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιγ η', καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἕω ὥρᾳ μιᾷ καὶ ιε'· ὁ δὲ ἥλιος δὶς τοῦ ἔτους ἐκεῖ γίνεται κατὰ κορυφὴν, ἀπέχων τῆς θερινῆς τροπῆς ἐφ' ἑκάτερα μοίρας λξ ∠.

§. 12. Τὸ δὲ Ὄμανον τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιγ ς' καὶ κ', καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἀνατολὰς ὥρᾳ μιᾷ καὶ ε' ἔγγιστα· ὁ δὲ ἥλιος δὶς τοῦ ἔτους ἐκεῖ γίνεται κατὰ κορυφὴν, ἀπέχων τῆς θερινῆς τροπῆς ἐφ' ἑκάτερα μοίρας λβ.

§. 13. Ἡ δὲ Μέναμβις τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιγ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἀνατολὰς ὥρᾳ μιᾷ καὶ εἰκοστῷ· ὁ δὲ ἥλιος δὶς τοῦ ἔτους ἐν αὐτῇ γίνεται κατὰ κορυφὴν, ἀπέχων τῆς θερινῆς τροπῆς ἐφ' ἑκάτερα μοίρας με..

§. 14. Ἡ δὲ Σάββαθα τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιγ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἀνατολὰς ὥρᾳ μιᾷ καὶ η'· ὁ δὲ ἥλιος δὶς τοῦ ἔτους ἐν αὐτῇ γί-

νεται κατὰ κορυφὴν, ἀπέχων τῆς θερινῆς τροπῆς ἐφ' ἑκάτερα μοίρας με.

§. 15. Ἡ δὲ **Σάβη** τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιβ ∠, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἕω ὥρᾳ μιᾷ καὶ ιε'· ὁ δὲ ἥλιος δὶς τοῦ ἔτους ἐκεῖ γίνεται κατὰ κορυφὴν, ἀπέχων τῆς θερινῆς τροπῆς ἐφ' ἑκάτερα μοίρας νη.

§. 16. Ἡ δὲ **Σάπφαρ** τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιβ ∠δη', καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἕω ὥρᾳ μιᾷ ∠ καὶ γ' καὶ λ'· λαμβάνει δὲ τὸν ἥλιον δὶς τοῦ ἔτους κατὰ κορυφὴν, ἀπέχοντα τῆς θερινῆς τροπῆς ἐφ' ἑκάτερα μοίρας νβ ς'·

§. 17. Ἡ δὲ **Διοσκορίδους νῆσος** τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιβ γο', καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἕω ὥρᾳ μιᾷ καὶ γ'· λαμβάνει δὲ τὸν ἥλιον δὶς τοῦ ἔτους κατὰ κορυφὴν, ἀπέχοντα τῆς θερινῆς τροπῆς ἐφ' ἑκάτερα μοίρας ξβ.

§. 18. Ἡ δὲ **Σαράπιδος** νῆσος τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιγ ιβ' ἔγγιστα, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἕω ὥραις δυσὶ δ' καὶ ξ'· λαμβάνει δὲ τὸν ἥλιον δὶς τοῦ ἔτους κατὰ κορυφὴν, ἀπέχοντα τῆς θερινῆς τροπῆς ἐφ' ἑκάτερα μοίρας μα.

§. 19. Ἡ δὲ **Ἀπφάνα** τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιγ ∠γ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἀνατολὰς ὥρᾳ μιᾷ γιε'.

§. 20. (*) Τῶν δὲ τῆς **Καρμανίας** διασήμων πόλεων·

ἡ μὲν **Κάρμανα** τὸ βασίλειον τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιγ ∠δη', καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἕω ὥραις δυσὶ καὶ γ'·

§. 21. ἡ δὲ Ἅρμουζα τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιγ̄ ∠ ἔγγιστα, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἕω ὥραις δυσὶ δ′ καὶ κ′· λαμβάνει δὲ τὸν ἥλιον δὶς τοῦ ἔτους κατὰ κορυφὴν, ἀπέχοντα τῆς θερινῆς τροπῆς ἐφ᾽ ἑκάτερα μοίρας γ̄.

§. 22. Ἡ δὲ Σαμυδάκη τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιγ̄ γιβ′, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἕω ὥραις δυσὶ καὶ γο′ ἔγγιστα· λαμβάνει δὲ τὸν ἥλιον δὶς τοῦ ἔτους κατὰ κορυφὴν, ἀπέχοντα τῆς θερινῆς τροπῆς ἐφ᾽ ἑκάτερα μοίρας ῑ.

§. 23. Ἡ δὲ Κάρμιννα νῆσος τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιγ̄ η′ ἔγγιστα, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἕω ὥραις δυσὶν ∠δ καὶ κ′· τὸν δὲ ἥλιον δὶς τοῦ ἔτους λαμβάνει κατὰ κορυφὴν, ἀπέχοντα τῆς θερινῆς τροπῆς ἐφ᾽ ἑκάτερα μοίρας μ̄ ἔγγιστα.

Κεφ. κγ′.

Ἀσίας Πίναξ ζ′.

§. 1. Ὁ ἕβδομος πίναξ τῆς Ἀσίας περιέχει
τὴν Ὑρκανίαν,
καὶ τὴν Μαργιανήν,
τὴν Βακτριανήν τε
καὶ Σογδιανούς,
καὶ Σάκας,
καὶ τὴν ἐντὸς Ἰμάου ὄρους Σκυθίαν.

Ὁ δὲ διὰ μέσου αὐτοῦ παράλληλος λόγον ἔχει πρὸς τὸν μεσημβρινὸν, ὃν τὰ β̄ πρὸς τὰ γ̄.

§. 2. Περιορίζεται δὲ ὁ πίναξ ἀπὸ μὲν ἀνατολῶν τῇ ἐντὸς Ἰμάου ὄρους Σκυθίᾳ, ἀπὸ δὲ μεσημβρι-

ας τῷ τε ὑπὲρ τὴν ἐντός τε καὶ ἐκτὸς Γάγγου Ἰνδικὴν Ἰμάῳ ὄρει καὶ Παροπανισάδαις καὶ Ἀρείᾳ τῇ τε Παρθίᾳ καὶ μέρει τῆς Ὑρκανίας θαλάσσης, ἀπὸ δὲ δύσεως μέρει τε Μηδίας καὶ Ὑρκανίας θαλάσσης καὶ τῇ ἐν Ἀσίᾳ Σαρματίᾳ, ἀπὸ δὲ ἄρκτων ἀγνώστῳ γῇ.

§. 3. Τῶν οὖν ἐν τῇ Ὑρκανίᾳ
διασήμων πόλεων ἡ μὲν ὁμώνυμος τῇ χώρᾳ Ὑρκανία μητρόπολις τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιδ ∠γιβ', καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἕω ὥραις δυσὶν ∠ καὶ ιε'·

§. 4. ἡ δὲ Ἀμαροῦσα τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιδ ∠δη', καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἕω ὥραις δυσὶ γ' καὶ ιε'.

§. 5. Τῶν δὲ ἐν τῇ Μαργιανῇ πόλεων
ἡ μὲν Ἀντιόχεια τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιε ἔγγιστα, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἕω ὥραις τρισὶ καὶ ιε'·

§. 6. ἡ δὲ Νίγαια (ἢ Νίσαια) τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιε' θ', καὶ διέστηκεν Ἀλεξαδρείας πρὸς ἕω ὥραις τρισί.

§. 7. Τῶν δὲ ἐν τῇ Βακτριανῇ
ἡ μὲν Χατράχαρτα τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιε γιβ' ἔγγιστα, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἕω ὥραις τρισὶ καὶ γ'·

§. 8. ἡ δὲ Ζαρίσπα τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιε δη', καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἕω ὥραις τρισὶ καὶ διμοίρῳ·

§. 9. (*) ἡ δὲ Βάκτρα τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιε, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἕω ὥραις τρισὶ γο' καὶ ιε'·

§. 10. ἡ δὲ *Μαρακάνδα* τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιδ ∠γ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἕω ὥραις τρισὶν ∠ ἔγγιστα.

§. 11. Τῶν δὲ ἐν τοῖς *Σογδιανοῖς* πόλεων

ἡ μὲν *Ὠξείανα* τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιε ∠ ἔγγιστα, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἕω ὥραις τρισὶν ∠ καὶ γ′ ἔγγιστα·

§. 12. ἡ δὲ *Μαροῦκα* τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιε γ′ ἔγγιστα, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἕω ὥραις τρισὶν ∠ καὶ γ′ ἔγγιστα·

§. 13. ἡ δὲ *Δρέψα* τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιε ∠, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἕω ὥραις δ·

§. 14. ἡ δὲ Ἐσχάτη *Ἀλεξανδρεία* τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιε, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἕω ὥραις δ καὶ η′.

§. 15. Τῆς δὲ ἐντὸς Ἰμάου ὄρους *Σκυθίας*

ἡ μὲν *Ἀσπαβῶτα* τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιε δη′, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἕω ὥραις δυσὶν ∠ καὶ γ′ ἔγγιστα·

§. 16. ἡ δὲ *Δαύαβα* τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιε ∠, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἕω ὥραις δυσὶν ∠γ καὶ ιε′·

Κεφ. κδ′.

Ἀσίας Πίναξ η′.

§. 1. Ὁ ὄγδοος πίναξ τῆς Ἀσίας περιέχει
τὴν ἐκτὸς Ἰμάου ὄρους *Σκυθίαν*
καὶ τὴν *Σηρικήν*.

Ὁ δὲ διὰ μέσου αὐτοῦ παράλληλος λόγον ἔχει πρὸς τὸν μεσημβρινὸν, ὃν τὰ β̄ πρὸς τὰ γ̄.

§. 2. Περιορίζεται δὲ ὁ πίναξ ἀπὸ μὲν ἄρκτων καὶ ἀνατολῶν ἀγνώστῳ γῇ, ἀπὸ δὲ μεσημβρίας Σίναις τε καὶ μέρει τῆς Ἰνδικῆς, ἀπὸ δὲ δύσεως τοῖς τε Σάκαις καὶ τῇ ἐντὸς Ἰμάου ὄρους Σκυθίᾳ.

§. 3. Τῶν οὖν ἐν τῇ Σκυθίᾳ διασήμων πόλεων ἡ μὲν Ἰσσηδὼν ἡ Σκυθικὴ τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιϛ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἕω ὥραις ἕξ·

§. 4. ἡ δὲ Αὔξακία τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιϛ δ' ἔγγιστα, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἕω ὥραις ε̄ ∠ καὶ ι'.

§. 5. Τῶν δὲ ἐν τῇ Σηρικῇ διασήμων πόλεων ἡ μὲν Ἰσσηδὼν ἡ Σηρικὴ τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιε ∠, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἕω ὥραις ϛ ∠ καὶ γ' ἔγγιστα·

§. 6. ἡ δὲ Δρωσαχὴ τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιε ϛ', καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἕω ὥραις ζ καὶ ϛ' ἔγγιστα·

§. 7. ἡ δὲ Ὀττοροκόῤῥα τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιδ γο' ἔγγιστα, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἕω ὥραις ἑπτά·

§. 8. ἡ δὲ μητρόπολις Σῆρα τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιδ ∠δ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἕω ὥραις ἑπτὰ ∠γ ἢ ὅλαις ὀκτώ.

Κεφ. κε΄.

(*) Ἀσίας Πίναξ θ΄.

§. 1. Ὁ ἔννατος πίναξ τῆς Ἀσίας περιέχει

Ἀρείαν,
καὶ Παροπανισάδας,
καὶ Δραγγιανήν,
καὶ Ἀραχωσίαν,
καὶ Γεδρωσίαν.

Ὁ δὲ διὰ μέσου αὐτοῦ παράλληλος λόγον ἔχει πρὸς τὸν μεσημβρινόν, ὃν τὰ ιγ̄ πρὸς τὰ ιε̄.

§. 2. Περιορίζεται δὲ ὁ πίναξ ἀπὸ μὲν ἀνατολῶν Ἰνδικῇ, ἀπὸ δὲ μεσημβρίας Ἰνδικῷ πελάγει, ἀπὸ δὲ δύσεως ταῖς δυσὶ Καρμανίαις καὶ Παρθίᾳ, ἀπὸ δὲ ἄρκτων Μαργιανῇ καὶ Βακτριανῇ.

§. 3. Τῶν οὖν ἐν τῇ Ἀρείᾳ διασημοτέρων πόλεων ἡ μὲν Ἀρεία τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιδ̄ γιβ΄, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἕω ὥραις τρισίν·

§. 4. ἡ δὲ Βιτάξα τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιδ̄ γο΄, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἕω ὥραις β̄ ∠γ καὶ ιβ΄·

§. 5. ἡ δὲ Ἀλεξάνδρεια ἡ ἐν Ἀρείᾳ τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιδ̄ ∠, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἕω ὥραις γ̄ καὶ γ΄.

§. 6. Τῶν δὲ Παροπανισαδῶν ἡ μὲν Ναυλιβὶς τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιδ̄ ∠ ἔγγιστα, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἕω ὥραις γ̄ ∠ καὶ γ΄·

§. 7. ἡ δὲ Κάρουρα ἡ καὶ Ὀρτόσπανα τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιδ̄ γιβ', καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἕω ὥραις γ̄ ∠γ καὶ λ'.

§. 8. Τῆς δὲ Δραγγιανῆς

ἡ μὲν Προφθασία τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιδ̄ ς', καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἕω ὥρας γ̄ καὶ γ'·

§. 9. ἡ δὲ Ἀριάσπη τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιγ̄ ∠γ καὶ ι', καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἕω ὥραις γ̄ καὶ δ'.

§. 10. Τῆς δὲ Ἀραχωσίας

ἡ μὲν Ἀλεξάνδρεια τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιδ̄ ιβ', καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἕω ὥραις γ̄ ∠ καὶ ι'·

§. 11. ἡ δὲ Ἀραχωτὸς τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιδ̄, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἕω ὥραις γ̄ ∠ καὶ λ'.

§. 12. Τῆς δὲ Γεδρωσίας

ἡ μὲν Κοῦνι τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιγ̄ καὶ ∠ ἔγγιστα, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἕω ὥραις γ̄ καὶ γ'·

§. 13. ἡ δὲ Μουσάρνα τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιγ̄ ∠δ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἕω ὥραις γ̄ καὶ γο'.

§. 14. Ἡ δὲ Ἀρβὶς τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιγ̄ ∠ ἔγγιστα, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἕω ὥραις γ̄· ὁ δὲ ἥλιος ἐν αὐτῇ ἅπαξ τοῦ ἔτους γίνεται κατὰ κορυφὴν, ἐπ' αὐτὰς θερινὰς τροπάς· καὶ ταῦτα μὲν διὰ τὸ εἶναι ἐγγὺς τῶν θερινῶν τροπῶν λέγομεν. Ἰστέον δὲ, ὅτι ἀπέχει τρίτῳ μιᾶς μοίρας μεγάλης, ὅπερ

ἐστὶ τοῦ Ζωδιακοῦ μοῖραι τρεῖς. §. 15. Κἀντεῦθεν οὐχ ἅπαξ τοῦ ἔτους, ἀλλὰ δὶς ἀνάγκη τὸν ἥλιον γίνεσθαι κατὰ κορυφὴν, ὅτε ἀπέχει δηλονότι τῆς θερινῆς τροπῆς ἐφ᾽ ἑκάτερα μοίρας γ̄, ὡς ἐν ταῖς ἄλλαις πόλεσι προεγράφη, ταῖς ἐν τῇ αὐτῇ τοῦ πλάτους μοίρᾳ κειμέναις.

Κεφ. κϛʹ.

(*) Ἀσίας Πίναξ ιʹ.

§. 1. Ὁ δέκατος πίναξ τῆς Ἀσίας περιέχει τὴν ἐντὸς Γάγγου τοῦ ποταμοῦ Ἰνδικὴν σὺν ταῖς παρακειμέναις αὐτῇ νήσοις. Ὁ δὲ διὰ μέσου αὐτοῦ παράλληλος λόγον ἔχει πρὸς τὸν μεσημβρινὸν, ὃν τὰ ια̅ πρὸς τὰ ιβ̅.

§. 2. Περιορίζεται δὲ ὁ πίναξ ἀπὸ μὲν ἀνατολῶν τῇ ἐκτὸς Γάγγου Ἰνδικῇ, ἀπὸ δὲ μεσημβρίας μέρει τε τοῦ Γαγγητικοῦ κόλπου καὶ Ἰνδικῷ πελάγει, ἀπὸ δὲ δύσεως Γεδρωσίᾳ καὶ Ἀραχωσίᾳ καὶ τοῖς Παροπανισάδαις, ἀπὸ δὲ ἄρκτων τῷ ὑπὸ τοὺς Σογδιανοὺς καὶ Σάκας Ἰμάῳ ὄρει.

§. 3. Τῶν δὲ ἐν αὐτῇ διασήμων πόλεων ἡ μὲν Σίμυλλα τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιβ̅ ∠γιβʹ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἕω ὥραις γ̄ καὶ γʹ· ὁ δὲ ἥλιος ἐκεῖ δὶς τοῦ ἔτους γίνεται κατὰ κορυφὴν, ὅτε ἀπέχει τῆς θερινῆς τροπῆς ἐφ᾽ ἑκάτερα μοίρας ν̄β.

§. 4. Ἡ δὲ Μουζιρὶς τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιβ̅ ∠γʹ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἕω

ὥραις τρισὶν ∠ καὶ γ′· ὁ δὲ ἥλιος ἐκεῖ δὶς τοῦ ἔτους γίνεται κατὰ κορυφὴν, ὅτε ἀπέχει τῆς θερινῆς τροπῆς ἐφ᾿ ἑκάτερα μοίρας νδ ∠.

§. 5. Ἡ δὲ Χαβηρὶς τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιβ ∠γιβ′ ἢ ιγ ἔγγιστα, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἕω ὥραις τρισὶν ∠ καὶ ιβ′· λαμβάνει δὲ τὸν ἥλιον δὶς τοῦ ἔτους κατὰ κορυφὴν, ὅτε ἀπέχει τῆς θερινῆς τροπῆς ἐφ᾿ ἑκάτερα μοίρας μζ ∠ καὶ ιβ′.

§. 6. Ἡ δὲ Παλοῦρα τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιβ γο′ καὶ ν′, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἕω ὥραις ε′ καὶ θ′, τὸν δὲ ἥλιον δὶς τοῦ ἔτους λαμβάνει κατὰ κορυφὴν, ὅτε ἀπέχει τῆς θερινῆς τροπῆς ἐφ᾿ ἑκάτερα μοίρας ξβ ∠.

§. 7. Ἡ δὲ Κάσπειρα τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιδ ιβ′ ἔγγιστα, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἕω ὥραις τέσσαρσι καὶ ∠ ἔγγιστα·

§. 8. ἡ δὲ Βουκεφάλα τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιδ δ′ ἔγγιστα, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἕω ὥραις δ γ′ καὶ λ′·

§. 9. ἡ δὲ Παλιμβόθρα τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιγ ∠δ ἔγγιστα, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἕω ὥραις ε ∠ καὶ λ′.

§. 10. Ἡ δὲ Πάταλα τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιγ γ′ ἔγγιστα, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἕω ὥραις γ καὶ ∠· λαμβάνει δὲ τὸν ἥλιον δὶς τοῦ ἔτους κατὰ κορυφὴν, ἀπέχοντα τῆς θερινῆς τροπῆς ἐφ᾿ ἑκάτερα μοίρας κγ ∠ καὶ γ′.

§. 11. Ἡ δὲ Βαρβαρεῖ τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιγ γιβ′, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἕω ὥραις γ ∠ καὶ εἰκοστῷ· ὁ δὲ ἥλιος δὶς τοῦ ἔτους ἐκεῖ

γίνεται κατὰ κορυφὴν, ἀπέχων τῆς θερινῆς τροπῆς ἐφ᾽ ἑκάτερα μοίρας ιη̄ γο′.

§. 12. Ἡ δὲ Βαρύγαζα τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιγ̄ ιβ′, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἕω ὥραις γ̄ ∠ καὶ κ′· τὸν δὲ ἥλιον δὶς τοῦ ἔτους λαμβάνει κατὰ κορυφὴν, ὅτε ἀπέχει τῆς θερινῆς τροπῆς ἐφ᾽ ἑκάτερα μοίρας μᾱ γο′.

§. 13. Ἡ δὲ Ὀζηνὴ τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιγ̄ δ′ ἔγγιστα, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἕω ὥραις δ̄· λαμβάνει δὲ τὸν ἥλιον δὶς τοῦ ἔτους κατὰ κορυφὴν, ἀπέχοντα τῆς θερινῆς τροπῆς ἐφ᾽ ἑκάτερα μοίρας λᾱ·

§. 14. (*) Ἡ δὲ Βαίθανα τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιγ̄ η′ ἔγγιστα, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἕω ὥραις γ̄ ∠ καὶ γ′ ἔγγιστα· ὁ δὲ ἥλιος δὶς τοῦ ἔτους ἐκεῖ γίνεται κατὰ κορυφὴν, ἀπέχων τῆς θερινῆς τροπῆς ἐφ᾽ ἑκάτερα μοίρας λη̄ δ′.

§. 15. Ἡ δὲ Ἱππόκουρα τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιγ̄ ϛ′, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἕω ὥραις δ̄ ἔγγιστα· ὁ δὲ ἥλιος δὶς τοῦ ἔτους ἐκεῖ γίνεται κατὰ κορυφὴν, ἀπέχων τῆς θερινῆς τροπῆς ἐφ᾽ ἑκάτερα μοίρας λε̄ γο′.

§. 16. Ἡ δὲ Καροῦρα τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιγ̄, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἕω ὥραις τρισὶν ∠ γ′ καὶ ι′· ὁ δὲ ἥλιος δὶς τοῦ ἔτους ἐκεῖ γίνεται κατὰ κορυφὴν, ἀπέχων τῆς θερινῆς τροπῆς ἐφ᾽ ἑκάτερα μοίρας με̄ γ′.

§. 17. Ἡ δὲ Μόδουρα τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιγ̄, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἕω ὥραις δ̄ καὶ γ′· λαμβάνει δὲ τὸν ἥλιον δὶς τοῦ ἔτους κατὰ κο-

ρυφὴν, ἀπέχοντα τῆς θερινῆς τροπῆς ἐφ' ἑκάτερα μοίρας με̅ γ'.

§. 18. Ἡ δὲ Ὀρθουρα ἢ Σωρνάγος τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιγ̄, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἕω ὥραις δ καὶ γο'· λαμβάνει δὲ τὸν ἥλιον δὶς τοῦ ἔτους κατὰ κορυφὴν, ἀπέχοντα τῆς θερινῆς τροπῆς ἐφ' ἑκάτερα μοίρας με̅ γ'.

§. 19. Ἡ δὲ Πίτυνδρα τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιβ ∠δ̄, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἕω ὥραις ε̄ καὶ λ'· λαμβάνει δὲ τὸν ἥλιον δὶς τοῦ ἔτους κατὰ κορυφὴν, ἀπέχοντα τῆς θερινῆς τροπῆς ἐφ' ἑκάτερα μοίρας ξ.

Κεφ. κζ'.

Ἀσίας Πίναξ ια'.

§. 1. Ὁ ἑνδέκατος πίναξ τῆς Ἀσίας περιέχει
τὴν ἐκτὸς Γάγγου Ἰνδικὴν
καὶ Σίνας
σὺν ταῖς παρακειμέναις νήσοις. Ὁ δὲ διὰ μέσου παράλληλος λόγον ἔχει τὸν αὐτὸν ἔγγιστα, καὶ τὸν μεσημβρινόν.

§. 2. Περιορίζεται δὲ ὁ πίναξ ἀπὸ μὲν ἀνατολῶν ἀγνώστῳ γῇ, ἀπὸ δὲ μεσημβρίας μέρει τοῦ Γαγγητικοῦ κόλπου καὶ Ἰνδικῷ πελάγει καὶ Μεγάλῳ κόλπῳ, ἔτι ἀγνώστῳ γῇ, ἀπὸ δὲ δύσεως τῇ ἐντὸς Γάγγου Ἰνδικῇ, ἀπὸ δὲ ἄρκτων μέρει τε Σακῶν καὶ Σκυθίᾳ τῇ ἐντὸς Ἰμάου ὄρους καὶ Σηρικῇ.

§. 3. Τῶν οὖν ἐν τῇ ἐκτὸς Γάγγου Ἰνδικῇ διασήμων πόλεων

ἡ μὲν Τάκωλα τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιβ̄ δ´, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἕω ὥραις ς̄ καὶ γο´· λαμβάνει δὲ τὸν ἥλιον δὶς τοῦ ἔτους κατὰ κορυφὴν, ἀπέχοντα τῆς θερινῆς τροπῆς ἐφ' ἑκάτερα μοίρας οθ̄ ∠.

§. 4. Αἱ δὲ Ζάβαι τὴν μεγίστην ἡμέραν ἔχουσιν ὡρῶν ιβ̄ δ´, καὶ διεστήκασιν Ἀλεξανδρείας πρὸς ἕω ὥραις ἑπτὰ πέμπτῳ καὶ ξ´· λαμβάνουσι δὲ τὸν ἥλιον δὶς τοῦ ἔτους κατὰ κορυφὴν, ἀπέχοντα τῆς θερινῆς τροπῆς ἐφ' ἑκάτερα μοίρας οη̄ ∠δ.

§. 5. Ἡ δὲ Τωσαλεῖ τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιγ̄ ∠ ἔγγιστα, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἕω ὥραις ς̄· ὁ δὲ ἥλιος δὶς τοῦ ἔτους ἐκεῖ γίνεται κατὰ κορυφὴν, ἀπέχων τῆς θερινῆς τροπῆς ἐφ' ἑκάτερα μοίρας δ̄ γ´.

§. 6. Ἡ δὲ Τοῦγμα τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιγ̄ γιβ´ ἔγγιστα, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἕω ὥραις ς̄ ς´· ὁ δὲ ἥλιος δὶς τοῦ ἔτους ἐκεῖ γίνεται κατὰ κορυφὴν, ἀπέχων τῆς θερινῆς τροπῆς ἐφ' ἑκάτερα μοίρας ιγ̄.

§. 7. (*) Τὸ δὲ Τρίλιγγον τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιγ̄ η´ ἔγγιστα, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἕω ὥραις ς̄ δ´ καὶ ξ´· ὁ δὲ ἥλιος ἐκεῖ δὶς τοῦ ἔτους γίνεται κατὰ κορυφὴν, ἀπέχων τῆς θερινῆς τροπῆς ἐφ' ἑκάτερα μοίρας λ̄θ.

§. 8. Ἡ δὲ Μαρέουρα τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιβ̄ ∠δ, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἕω ὥραις ς̄ ∠· ὁ δὲ ἥλιος δὶς τοῦ ἔτους ἐκεῖ γίνεται κατὰ κορυφὴν, ἀπέχων τῆς θερινῆς τροπῆς ἐφ' ἑκάτερα μοίρας κζ.

§. 9. Ἡ δὲ Ῥαδαμαρκόττα τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιγ̄ ∠γ ἔγγιστα, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἕω ὥραις ζ καὶ ∠ ἔγγιστα·

§. 10. ἡ δὲ ἐν τῇ Ἰαβαδίου (ἢ Σαβαδίου) νήσῳ μητρόπολις Ἀργυρῆ τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιβ ∠, καὶ διέστηκεν Ἀλεξανδρείας τοῦ νοτίου πόλου ὑπὲρ γῆν ἐξηρμένου πρὸς ἀνατολὰς ὥραις ζ η΄ καὶ ϑ΄· ὁ δὲ ἥλιος ἐκεῖ δὶς τοῦ ἔτους γίνεται κατὰ κορυφὴν, ἀπέχων τῆς θερινῆς τροπῆς ἐφ᾽ ἑκάτερα μοίρας ο̄ ἔγγιστα.

§. 11. Τῶν δὲ ἐν ταῖς Σίναις διασήμων πόλεων ἡ μὲν Ἀσπίθρα τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιγ̄ ἔγγιστα, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἕω ὥραις ζ διμοίρῳ καὶ λ΄· ὁ δὲ ἥλιος ἐκεῖ δὶς τοῦ ἔτους γίνεται κατὰ κορυφὴν, ἀπέχων τῆς θερινῆς τροπῆς ἐφ᾽ ἑκάτερα μοίρας μθ γ΄.

§. 12. Αἱ δὲ Σῖναι ἢ Θῖναι μητρόπολις τὴν μεγίστην ἡμέραν ἔχουσιν ὡρῶν ιβ ∠δ καί τι, καὶ διεστήκασιν Ἀλεξανδρείας πρὸς ἀνατολὰς ὥραις η̄· τοῦ δὲ διὰ τῶν Μακάρων νήσων τοῦ τὸ δυτικὸν πέρας τῆς ἐγνωσμένης γῆς ἀφορίζοντος μεσημβρινοῦ πρὸς ἀνατολὰς ὥραις ἰσημεριναῖς ιβ΄· ὁ δὲ ἥλιος δὶς τοῦ ἔτους ἐκεῖ γίνεται κατὰ κορυφὴν, ἀπέχων τῆς θερινῆς τροπῆς ἐφ᾽ ἑκάτερα μοίρας νη.

§. 14. Ὁ δὲ τῶν Σινῶν ὅρμος τὰ Καττίγαρα τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιβ ∠, καὶ διέστηκεν Ἀλεξανδρείας τοῦ νοτίου πόλου ὑπὲρ τὴν γῆν ἐξηρμένου πρὸς ἀνατολὰς ὥραις ἑπτὰ ∠γ καὶ λ΄, ἢ ὅλαις η̄· ὁ δὲ ἥλιος δὶς τοῦ ἔτους ἐκεῖ γίνεται κατὰ κορυφὴν, ἀπέχων τῆς θερινῆς τροπῆς ἐφ᾽ ἑκάτερα μοίρας ο̄ ἔγγιστα·

Κεφ. κη'.

Ἀσίας Πίναξ ιβ'.

§. 1. Ὁ ιβ̄ καὶ τελευταῖος πίναξ τῆς Ἀσίας περιέχει τὴν Ταπροβάνην νῆσον

σὺν ταῖς περὶ αὐτὴν νήσοις. Ὁ δὲ διὰ μέσου αὐτοῦ παράλληλος λόγον ἔχει τὸν αὐτὸν καὶ τὸν μεσημβρινόν.

§. 2. Περιορίζεται δὲ ὁ πίναξ πάντοθεν Ἰνδικῷ πελάγει.

§. 3. Τῶν οὖν ἐν αὐτῇ διασημοτέρων πόλεων ἡ μὲν Ναγάδιβα τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιβ̄ ∠, καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἕω ὥραις τέσσαρσιν ἡμίσει καὶ δωδεκάτῳ· τὸν δὲ ἥλιον δὶς τοῦ ἔτους λαμβάνει κατὰ κορυφὴν, ἀπέχοντα τῆς θερινῆς τροπῆς ἐφ' ἑκάτερα μοίρας ο̄ ἔγγιστα.

§. 4. Ἡ δὲ Ταλάκωρυ τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιβ̄ γο', καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἕω ὥραις δ̄ γ' καὶ ιε'· ὁ δὲ ἥλιος ἐκεῖ δὶς τοῦ ἔτους γίνεται κατὰ κορυφὴν, ἀπέχων τῆς θερινῆς τροπῆς ἐφ' ἑκάτερα μοίρας ξβ̄.

§. 5. (*) Τὸ δὲ Μαάγραμμον μητρόπολις τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιβ̄ γιβ', καὶ διέστηκεν Ἀλεξανδρείας πρὸς ἕω ὥραις δ̄ καὶ ∠ ἔγγιστα· ὁ δὲ ἥλιος δὶς τοῦ ἔτους ἐκεῖ γίνεται κατὰ κορυφὴν, ἀπέχων τῆς θερινῆς τροπῆς ἐφ' ἑκάτερα μοίρας οβ̄ καὶ γο' ἔγγιστα.

Κεφ. κθ'.

(* Ἔκθεσις χωρῶν τῆς οἰκουμένης.)

Αἵδε εἰσὶν αἱ γνωσθεῖσαι ἐπαρχίαι ἢ σατραπίαι τῆς οἰκουμένης·

§. 1. *Εὐρώπης·*

πίναξ α'.

Ἰβερνία νῆσος Βρετανική
Ἀλουΐωνος νῆσος Βρετανική
[Θούλη νῆσος]·

§. 2. *πίναξ β'.*

Ἱσπανία Βαιτική	ογ̄	λη̄	γ'
Ἱσπανία Λουσιτανία	η̄	λθ̄	∠
Ἱσπανία Ταῤῥακωνησία	ια̅	μβ̄	∠

§. 3. *πίναξ γ'.*

Γαλλία Ἀκουϊτανία
Γαλλία Λουγδουνησία
Γαλλία Βελγική
Κελτογαλατία Ναρβωνησία·

§. 4. *πίναξ δ'.*

Γερμανία Μεγάλη·

§. 5. *πίναξ ε'.*

Ῥαιτία καὶ Οὐϊνδελκία
Νωρικόν

---

* Adnot. Titulum ad modum summariorum cuiusque libri compositum huic segmento praemittendum censui: *Ἔκθεσις — οἰκουμένης.*

Παννονία ἡ ἄνω
Παννονία ἡ κάτω
Ἰλλυρὶς ἡ καὶ Δαλματία
Λιβουρνία·

§. 6. πίναξ ϛ'.

Ἰταλία
Κύρνος νῆσος·

§. 7. πίναξ ζ'.

Σαρδὼ νῆσος
Σικελία νῆσος·

§. 8. πίναξ η'.

Σαρματία ἡ ἐν Εὐρώπῃ
Ταυρικὴ Χερσόνησος·

§. 9. πίναξ θ'·

Ἰάζυγες Μετανάσται
Δακία
Μυσία ἡ ἄνω
Μυσία ἡ κάτω
Θρᾴκη.
Χερσόνησος·

§. 10. πίναξ ι'.

Μακεδονία
Ἤπειρος
Ἀχαΐα
Πελοπόννησος
Κρήτη νῆσος
Εὔβοια νῆσος.

§. 11. Ὁμοῦ αἱ τῆς Εὐρώπης ἐπαρχίαι λδ πίνακες ι'.

§. 12. (*) *Λιβύης·*

πίναξ α΄.

Μαυριτανία Τιγγιτανή

Μαυριτανία Καισαρησία·

§. 13. *πίναξ β΄.*

Ἀφρικὴ [ἡ] καὶ Νουμιδία·

§. 14. *πίναξ γ΄.*

Πεντάπολις ἡ καὶ Κυρηναϊκή

Μαρμαρική

Λιβύη

Αἴγυπτος

Θηβαΐς·

§. 15. *πίναξ δ΄.*

Λιβύη ἡ ἐντὸς

Μερόη

Αἰθιοπία ὑπὸ Αἴγυπτον

ἡ ἐντὸς τούτων πάντων καὶ νοτιωτάτη Αἰθιοπία·

§. 16. *Ὁμοῦ αἱ τῆς Λιβύης ἐπαρχίαι ιβ πίνακες δ΄.*

§. 17. *Ἀσίας·*

πίναξ α΄·

Πόντος καὶ Βιθυνία

ἡ ἰδίως Ἀσία, ἐν ᾗ ἡ Φρυγία

Λυκία

Παμφυλία, ἐν ᾗ Πισιδία

Γαλατία, ἐν ᾗ Παφλαγονία καὶ Ἰσαυρία

Καππαδοκία

Ἀρμενία Μικρά

Κιλικία.

§. 18. *πίναξ β΄.*

Σαρματία ἡ ἐν Ἀσίᾳ·

§. 19. *πίναξ γ'.*

Κολχίς
Ἰβηρία
Ἀλβανία
Ἀρμενία Μεγάλη·

§. 20. *πίναξ δ'.*

Κύπρος νῆσος
Συρία κοίλη
Φοινίκη
Παλαιστίνη Ἰουδαία
Ἀραβία Πετραία
Ἀραβία Ἔρημος
Μεσοποταμία
Βαβυλωνία·

§. 21. *πίναξ ε'.*

Ἀσσυρία
Μηδία
Σουσιανή
Περσίς
Παρθία
Καρμανία Ἔρημος·

§. 22. *πίναξ ϛ'.*

Ἀραβία Εὐδαίμων
Καρμανία·

§. 23. *πίναξ ζ'.*

Ὑρκανία χώρα
Μαργιανή
Βακτριανή
(*) *Σογδιανοί*

Σάκαι

Σκυθία ἡ ἐντὸς Ἰμάου ὄρους·

§. 24. πίναξ η΄.

Σκυθία ἡ ἐκτὸς Ἰμάου ὄρους

Σηρική·

§. 25. πίναξ θ΄.

Ἀρεία

Παροπανισάδαι

Δραγγιανή

Ἀραχωσία

Γεδρωσία·

§. 26. πίναξ ι΄.

Ἰνδικὴ ἡ ἐντὸς Γάγγου ποταμοῦ·

§. 27. πίναξ ια΄.

Ἰνδικὴ ἡ ἐκτὸς Γάγγου ποταμοῦ

Σινῶν χώρα·

§. 28. πίναξ ιβ΄.

Ταπροβάνη ἡ νῆσος.

§. 29. Ὁμοῦ καὶ αἱ τῆς Ἀσίας ἐπαρχίαι μθ, πίνακες ιβ· ὡς γίνεσθαι τῆς ὅλης οἰκουμένης ἐπαρχίας ϛδ, πίνακας κϛ.

§. 31. Τὰ προγραφόμενα ἔξωθεν τοῦ ζωδιακοῦ ἐπὶ τῆς κρικωτῆς σφαίρας, ὅσα ἔθνη ὑπόκειται τῷ ζωδιακῷ, τούτοις ὁ ἥλιος κατὰ κορυφὴν γίνεται κατιὼν ἀπὸ βοῤῥᾶ ἐπὶ νότον, καὶ ἀνιὼν ὁμοίως· καὶ τοῖς μὲν ἅπαξ τοῦ ἐνιαυτοῦ, τοῖς δὲ δίς. §. 31. Εἰσὶ δὲ ὁμοίως οἱ ὑπὸ τὸν ζωδιακὸν οἰκοῦντες ἀπὸ δύσεως μέχρις ἀνατολῶν ἅπαντες μέλανες τὰς χρόας Αἰθίοπες, καὶ μάλιστα οἱ ὑπὸ τὸν ἰσημερινὸν κύκλον οἰκοῦντες, κατακόρως εἰσὶ μέλανες. Οἱ δ᾽ ἐκτὸς τῆς καθέτου τοῦ

ζωδιακοῦ οἰκοῦντες ἀνειμένοι τὰς χρόας ἐπὶ τὸ λευκότερον πρὸς λόγον τοῦ διαστήματος ἕως τῶν ὑπερβορείων Σαρματῶν. Ὁ δ' αὐτὸς λόγος ἐφ' ἑκάτερα τοῦ ἰσημερινοῦ νοείσθω, ἐπί τε τὰ βόρεια καὶ τὰ νότια ἕως τῶν πόλων ἀμφοτέρων τοῦ ζωδιακοῦ: *

Κεφ. λ'.

(*) Ἔκθεσις μήκους καὶ πλάτους ἑκάστου πίνακος.

§. 1. Εὐρώπης.

Τῆς μὲν οὖν Εὐρώπης ὁ μὲν πρῶτος ἔχει μήκους ἀπὸ μοιρῶν ξ γο' μέχρι μοιρῶν λγ̄· καὶ γίνεται μῆκος

---

* Scholion. Ὅταν δὲ λέγῃ „Ὁ δια μέσου αὐτοῦ παράλληλος λόγον ἔχει πρὸς τὸν μεσημβρινὸν, ὡς ἐπὶ τοῦ πρώτου πίνακος τῆς Εὐρώπης, ὃν τα ιᾱ καὶ τὰ κ̄," περὶ τῶν μοιρῶν λέγει τοῦ παραλληλογράμμου πίνακος, ὅπως ἔχῃ ἡ μοῖρα τοῦ μήκους πρὸς τὴν μοῖραν τοῦ πλάτους· ὁ γὰρ διὰ μέσου αὐτοῦ παράλληλος ἡ ἑκάστη μοῖρα τοῦ μήκους ἐστὶ, λόγον ἔχουσα πρὸς τὸν μεσημβρινὸν, ἤτοι ἑκάστην μοῖραν τοῦ πλάτους, ὃν τὰ ιᾱ πρὸς τὰ κ̄. ὡσαύτως δὲ καὶ ἐπὶ τῶν λοιπῶν παραλλήλων τὴν μοῖραν ἑκάστην τοῦ μήκους πρὸς ἑκάστην μοῖραν συγκριτέον τοῦ πλάτους, οὐχ ὅλον τὸ τοῦ πίνακος μῆκος πρὸς ὅλον τὸ τοῦ πίνακος πλάτος· ἐκ δὲ τούτου συμβαίνει, ἐν οἷς μὲν τῶν πινάκων πλεῖον γίνεσθαι τὸ μῆκος τοῦ πλάτους· ἐν οἷς δὲ τὸ πλάτος τοῦ μήκους· ταῦτα δὲ οὐ στοχασμοῖς ὑπειληφότες γεγράφαμεν, ἀλλὰ πείρᾳ, τὴν ἀκρίβειαν εἰρηκότες τῆς ἀληθείας.

μοιρῶν κε γ΄· πλάτος δὲ ἔχει ἀπὸ μοιρῶν να ∠ μέχρι μοιρῶν ξγ, καὶ γίνεται πλάτος μοιρῶν ια ∠.

§. 2. Ὁ δεύτερος ἀπὸ μοιρῶν β ∠ ἕως μοιρῶν κα· καὶ γίνεται μῆκος ιη· πλάτος δὲ ἀπὸ μοιρῶν λ ς΄ ἕως μοιρῶν μϛ ∠δ, ὡς γίνεται πλάτος μοιρῶν ι ∠δ.

§. 3. Ὁ τρίτος ἀπὸ μοιρῶν ιε ἕως μοιρῶν κδ ∠· καὶ γίνεται μῆκος μοιρῶν ιη· πλάτος δὲ ἀπὸ μοιρῶν μβ ἕως μοιρῶν νδ, ὡς γίνεται πλάτος μοιρῶν ιβ.

§. 4. Ὁ τέταρτος ἀπὸ μοιρῶν κζ ∠ ἕως μϛ· καὶ γίνεται μῆκος μοιρῶν ιη ∠· πλάτος δὲ ἀπὸ μοιρῶν μϛ γ΄ ἕως μοιρῶν νθ ∠, ὡς γίνεσθαι πλάτος μοιρῶν ιγ ς΄.

§. 5. Ὁ πέμπτος ἀπὸ μοιρῶν κθ ∠ ἕως μοιρῶν μζ· γίνεται μῆκος μοιρῶν ιζ ∠· πλάτος ἀπὸ μοιρῶν μα ἕως μοιρῶν μη, καὶ γίνεται πλάτος μοιρῶν ἑπτά.

§. 6. Ὁ ἕκτος ἀπὸ μοιρῶν κζ ∠ ἕως μοιρῶν μγ· γίνεται μῆκος μοιρῶν ιε ∠· πλάτος ἀπὸ μοιρῶν λθ ∠γ ἕως μοιρῶν με δ΄ γίνεται πλάτος μοιρῶν ξγ ιβ΄·

§. 7. Ὁ ἕβδομος ἀπὸ μοιρῶν κθ γ΄ ἕως μοιρῶν μ· γίνεται μῆκος μοιρῶν ι γο΄· πλάτος ἀπὸ μοιρῶν λε ∠ ἕως μοιρῶν λθ ∠δ γίνεται πλάτος μοιρῶν δ δ΄.

§. 8. Ὁ ὄγδοος ἀπὸ μοιρῶν μβ ∠ ἕως μοιρῶν οβ ∠· γίνεται μῆκος μοιρῶν λ· πλάτος ἀπὸ μοιρῶν μϛ γο΄ ἕως μοιρῶν ξγ, γίνεται πλάτος μοιρῶν ιϛ γ΄.

§. 9. Ὁ ἔνατος ἀπὸ μοιρῶν μβ ∠ ἕως μοιρῶν μζ ∠· γίνεται μῆκος μοιρῶν ιε· πλάτος ἀπὸ μοιρῶν μ γο΄ ἕως μοιρῶν μη γίνεται πλάτος ξ ∠γ.

§. 10. Ὁ δέκατος καὶ τελευταῖος ἀπὸ μοιρῶν μδ ς΄ ἕως μοιρῶν νε ∠γ· γίνεται μῆκος ια γο΄· πλάτος ἀπὸ

μοιρῶν λδ ἕως μοιρῶν μβ γίνεται πλάτος μοιρῶν η γ΄.

§. 11. Τῆς δὲ Λιβύης

ὁ πρῶτος ἀπὸ μοιρῶν ε ἕως μοιρῶν κζ ∠γ· γίνεται μῆκος κβ ∠γ· πλάτος ἀπὸ μοιρῶν κς ἕως μοιρῶν λγ γίνεται πλάτος μοιρῶν ι.

§. 12. Ὁ δεύτερος ἀπὸ μοιρῶν κς ἕως μοιρῶν μζ· γίνεται μῆκος μοιρῶν κα· πλάτος δὲ ἀπὸ μοιρῶν κε ἕως μοιρῶν λδ γο΄ γίνεται πλάτος μοιρῶν θ γο΄.

§. 13. Ὁ τρίτος ἀπὸ μοιρῶν μς ∠δ ἕως μοιρῶν ξε· γίνεται μῆκος μοιρῶν ιη δ΄· πλάτος ἀπὸ μοιρῶν κγ, ἕως μοιρῶν λβ γίνεται πλάτος μοιρῶν θ.

§. 14. Ὁ τέταρτος καὶ τελευταῖος ἀπὸ μοιρῶν α ἕως μοιρῶν πε· γίνεται μῆκος μοιρῶν πε· πλάτος ἀπὸ ἰσημερινοῦ πρὸς βοῤῥᾶν μοιρῶν κς ∠, ἀπὸ δὲ τοῦ ἰσημερινοῦ πρὸς νότον μοιρῶν ις γιβ΄ ἢ ὅλων ιζ ὡς συνάγεσθαι τῶν τε βορείων μοιρῶν καὶ νοτίων μοιρῶν μγ ∠.

§. 15. Τῆς δὲ Ἀσίας

ὁ πρῶτος ἀπὸ μοιρῶν νε ἕως μοιρῶν οβ ∠δ· γίνεται μῆκος μοιρῶν ιζ ∠δ· πλάτος ἀπὸ μοιρῶν λε ἕως μοιρῶν μδ ∠δ γίνεται πλάτος μοιρῶν θ ∠δ.

§. 16. (*) Ὁ δεύτερος ἀπὸ μοιρῶν ξδ ἢ διὰ τὴν ὁπλοκληρίαν τῆς Μαιώτιδος ἀπὸ μοιρῶν ξ ἕως μοιρῶν πζ ∠· γίνεται μῆκος μοιρῶν ἢ κβ ∠ ἢ κζ ∠· πλάτος ἀπὸ μοιρῶν μς γο΄ ἕως πλάτους μοιρῶν ξγ γίνεται πλάτος μοιρῶν ις γ΄.

§. 17. Ὁ τρίτος ἀπὸ μοιρῶν ο ∠ ἕως μοιρῶν πζ ∠· γίνεται μῆκος μοιρῶν ιζ· πλάτος ἀπὸ μοιρῶν λη ἕως μοιρῶν μζ ∠ γίνεται πλάτος μοιρῶν θ ∠.

§. 18. Ὁ τέταρτος ἀπὸ μοιρῶν ξγ ∠ ἕως μοιρῶν π ∠· γίνεται μῆκος μοιρῶν ιζ· πλάτος ἀπὸ μοιρῶν κη ∠ ἕως μοιρῶν λη ∠ γίνεται πλάτος μοιρῶν ι.

§. 19. Ὁ πέμπτος ἀπὸ μοιρῶν οε ∠ ἕως μοιρῶν ϱα ∠· γίνεται μῆκος μοιρῶν κς· πλάτος ἀπὸ μοιρῶν κθ ἕως μοιρῶν μγ γ′ γίνεται πλάτος μοιρῶν ιδ γ′·

§. 20. Ὁ ἕκτος ἀπὸ μοιρῶν ξε ἕως μοιρῶν ϱδ· γίνεται μῆκος μοιρῶν λθ· πλάτος ἀπὸ μοιρῶν θ ἕως μοιρῶν λα γίνεται πλάτος μοιρῶν κβ.

§. 21. Ὁ ἕβδομος ἀπὸ μοιρῶν πε ἢ διὰ τὴν ὁλοκληρίαν τῆς Ὑρκανίας ἀπὸ μοιρῶν ο θ′ ἕως μοιρῶν ϱκε· γίνεται μῆκος μοιρῶν ξ ἢ ξ ς′· πλάτος ἀπὸ μοιρῶν λε ἕως μοιρῶν ξγ γίνεται πλάτος μοιρῶν κη.

§. 22. Ὁ ὄγδοος ἀπὸ μοιρῶν ϱμδ ἕως μοιρῶν ϱπ· γίνεται μῆκος μοιρῶν μ· πλάτος ἀπὸ μοιρῶν λε ἕως μοιρῶν ξγ γίνεται πλάτος μοιρῶν κη.

§. 23. Ὁ ἔννατος ἀπὸ μοιρῶν ϱα ἕως μοιρῶν ϱιθ· γίνεται μῆκος μοιρῶν ιη ∠· πλάτος ἀπὸ μοιρῶν ιζ ἕως μοιρῶν λθ γίνεται πλάτος μοιρῶν κβ.

§. 24. Ὁ δέκατος πίναξ τῆς Ἀσίας ἀπὸ μοιρῶν ϱθ ἕως μοιρῶν ϱμη ∠· γίνεται μῆκος μοιρῶν λθ ∠· πλάτος ἀπὸ μοιρῶν ια ἕως μοιρῶν λθ γίνεται πλάτος μοιρῶν κη.

§. 25. Ὁ ἑνδέκατος ἀπὸ μοιρῶν λς ἢ διὰ τὰς τοῦ Διαμοῦνα ποταμοῦ πηγάς, ὃς συμβάλλει τῷ Γάγγῃ ϱλδ ∠ ἢ με ∠ πλάτος ἀπὸ τοῦ ἰσημερινοῦ πρὸς βοῤῥᾶν μοιρῶν λξ· ἀπὸ δὲ τοῦ ἰσημερινοῦ πρὸς νότον μοιρῶν η ∠ ἢ θ γίνεται πλάτος μοιρῶν ἢ με ∠ ἢ μς.

§. 26. Ὁ δωδέκατος καὶ τελευταῖος ἀπὸ μοιρῶν ρις̄ ἕως μοιρῶν ρλε̄· γίνεται μῆκος μοιρῶν ιθ̄· πλάτος ἀπὸ βορείων μοιρῶν ιβ̄ ∠ἢ διὰ τὴν Κῶρυ ἀκρωτηρίου καταγραφὴν ὡς ἂν φαινόμενον τῆς πρὸς τὴν Ἰνδικὴν σχέσιν τῆς Ταπροβάνης ἐμφαίνῃ μοιρῶν ιγ̄ γ′· ἀπὸ δὲ νοτίων μοιρῶν ς̄ ∠· ὡς συνάγεσθαι πλάτος μοιρῶν ιθ̄ ∠γ ἢ ὅλων εἴκοσι.

Index paginarum
editionis Montani
cum Nobbianae paginis et versibus collatarum

Ed. Mont.		Nobb. Tom. I.		Ed. Mont.		Nobb. Tom. I.	
Lib. I.	Pag.	Pag.	Vers.	Lib. I.	Pag.	Pag.	Vers.
	2	3	1		19	39	18
	3	4	29		20	41	15
	4	7	7		21	43	15
	5	9	11		22	45	15
	6	12	1		23	47	7
	7	14	3		24	50	7
	8	16	13		25	52	14
	9	18	26		26	55	1
	10	21	3		27	56	11
	11	23	9		28	57	25
	12	25	5	Lib. II.	29	59	1
	13	27	6		30	61	12
	14	29	9		31	64	1
	15	31	7		32	67	1
	16	33	5		33	69	7
	17	35	10		34	71	25
	18	37	17		35	74	11

Ed. Mont.		Nobb. Tom. I.		Ed. Mont.		Nobb. Tom. I.	
Lib. II.	Pag.	Pag.	Vers.	Lib. III.	Pag.	Pag.	Vers.
	36	77	2		63	144	3
	37	79	10		64	146	15
	38	81	28		65	149	1
	39	84	13		66	151	11
	40	86	26		67	153	27
	41	89	4		68	156	4
	42	91	7		69	158	19
	43	93	16		70	161	17
	44	95	25		71	164	4
	45	98	6		72	166	19
	46	100	14		73	169	5
	47	102	19		74	172	27
	48	104	24		75	175	11
	49	106	28		76	177	23
	50	109	11		77	180	20
	51	111	24		78	183	13
	52	114	8		79	186	3
	53	116	19		80	188	18
	54	120	16		81	191	12
	55	122	24		82	194	5
	56	125	10		83	196	25
	57	127	28		84	199	11
	58	130	21		85	201	22
	59	133	14		86	204	5
Lib. III.	60	136	4		87	206	18
	61	138	23		88	208	27
	62	141	9		89	211	12

Ed. Mont.		Nobb. Tom. I.		Ed. Mont.		Nobb. Tom. II.	
Lib. III.	Pag.	Pag.	Vers.	Lib. V.	Pag.	Pag.	Vers.
	90	214	17		116	1	1
	91	218	5		117	3	29
Lib. IV.	92	220	20		118	7	1
	93	223	26		119	10	12
	94	226	23		120	12	27
	95	229	11		121	15	14
	96	232	20		122	17	26
	97	235	13		123	20	9
	98	238	1		124	22	20
	99	241	17		125	25	6
	100	244	4		126	28	5
	101	246	18		127	30	19
	102	249	5		128	33	3
	103	251	14		129	35	15
	104	254	2		130	38	3
	105	257	3		131	40	23
	106	259	19		132	44	9
	107	261	25		133	47	2
	108	264	4		134	49	20
	109	266	20		135	52	8
	110	269	10		136	54	25
	111	272	26		137	57	15
	112	275	12		138	59	27
	113	277	23		139	62	9
	114	280	4		140	64	20
	115	283	1		141	67	4
					142	69	25

Ed. Mont.		Nobb. Tom. II.		Ed. Mont.		Nobb. Tom. II.	
Lib. V.	Pag.	Pag.	Vers.	Lib. VII.	Pag.	Pag.	Vers.
	143	72	9		170	146	2
	144	74	15		171	149	9
	145	77	3		172	151	26
Lib. VI.	146	80	1		173	154	12
	147	83	7		174	156	28
	148	86	1		175	159	14
	149	88	28		176	162	2
	150	91	14		177	164	29
	151	94	5		178	167	30
	152	96	7		179	170	10
	153	98	22		180	173	3
	154	101	23		181	175	22
	155	104	25		182	177	30
	156	107	4		183	180	16
	157	109	17		184	183	10
	158	112	8		185	187	23
	159	114	23		186	189	9
	160	117	22	Lib. VIII.	187	191	1
	161	120	16		188	191	9
	162	123	14		189	192	1
	163	127	4		190	194	6
	164	130	7		191	196	14
	165	133	1		192	198	25
	166	135	7		193	201	13
Lib. VII.	167	138	1		194	204	7
	168	141	1		195	206	25
	169	143	10		196	209	17

Ed. Mont.	Nobb.		Ed. Mont.	Nobb.	
	Tom. II.			Tom. II.	
Lb.VIII. Pag.	Pag.	Vers.	Lb.VIII. Pag.	Pag.	Vers.
197	212	6	207	239	13
198	215	1	208	241	30
199	217	7	209	244	24
200	219	27	210	247	22
201	222	8	211	250	13
202	224	15	212	253	7
203	227	15	213	256	11
204	230	11	214	258	12
205	233	11	215	260	7
206	236	14			

Digitized with financial assistance from the
Government of Maharashtra
on 02 July, 2018